This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

37.
722.

S. GREGORII

EPISCOPI NYSSENI

DE

ANIMA

ET

RESURRECTIONE

CUM SORORE SUA MACRINA

DIALOGUS.

GRAECE ET LATINE.

AD CODICUM MSS. FIDEM

RECENSUIT ET ILLUSTRAVIT

JO. GEORGIUS KRABINGERUS,

BIBLIOTHECAE REG. MONACENSIS CUSTOS.

LIPSIAE, MDCCCXXXVII.

IN LIBRARIA GUSTAVI WUTTIGII.

722.

BIBLIOTHECA · BODLEIANA ·

Editoris Praefatio.

Gregorii Nysseni, scriptoris nobilissimi, de anima et resurrectione cum Macrina sorore dialogus quum propter rerum gravitatem, tum propter disputandi subtilitatem et loquendi elegantiam, quibus virtutibus imprimis commendatur, omnino dignus mihi visus est, ut aliquando ad Codicum MSS. fidem emendatus et illustratus typis describeretur, praesertim quum hactenus seorsum nondum prodierit, et textus eius, prout habetur in Gregorii operibus omnibus, lacunis et ineptissimis mendis mirum in modum refertus sit.

Scriptum fuisse hunc librum vel anno 379 iam vergente, vel non multo post initium anni sequentis, veri simillimum videtur; anno enim 379, quo Basilius Magnus, Gregorii nostri et et Macrinae frater, de vita decessit, Gregorius concilio Antiocheno interfuit. Quo dimisso domum rediens, sororem Macrinam, in monasterio

degentem, longo intervallo temporis invisere decrevit, eo consilio, ut familiariter cum sorore colloquens gravissimum animi dolorem, morte fratris acceptum, leniret solatiumque ab ea peteret[1]). Qua de re mihi haud alienum videtur ipsum Gregorium memorantem facere. „Et ne qua animum", inquit[2]), „molestia afficeret (i. e. Macrina aegrotans), gemitum molliebat et magnam spirandi difficultatam celare quodammodo

---

1) *Ἔνατος ἦν*, narrat ipse Noster de vita S. Macrinae in Appendice Gretser. p. 187. D, *μετὰ τὸ πάθος τοῦτο μὴν, ἢ μικρὸν ὑπὲρ τοῦτο· καὶ σύνοδος ἐπισκόπων κατὰ τὴν Ἀντιόχου πόλιν ἠθροίζετο, ἧς καὶ ἡμεῖς μετέσχομεν· καὶ ἐπειδὴ πάλιν πρὸς τὴν ἑαυτοῦ ἕκαστος ἀπελύθημεν, πρὶν τὸν ἐνιαυτὸν παρελθεῖν, ἐνθύμιον ἐμοὶ τῷ Γρηγορίῳ γίνεται, πρὸς αὐτὴν* (nimir. *Μακρῖναν*) *διαβῆναι· πολὺς γὰρ ἦν ὁ διὰ μέσου χρόνος, ἐν ᾧ τὰς ἐπισκέψεις αἱ τῶν πειρασμῶν περιςάσεις ἐκώλυσαν κ. τ. λ.* Conf. etiam de anima et resurrectione Dialog. init.

2) Ibid. p. 189. B.: *Καὶ ὡς ἂν μηδεμίαν ἐπαγάγοι τῇ ἐμῇ ψυχῇ δυσθυμίαν, τὸν ςεναγμὸν κατεπράϋνε, καὶ τὴν συνοχὴν τοῦ ἄσθματος κρύπτειν πως ἐβιάζετο, διὰ πάντων τε πρὸς τὸ εὐθυμότερον μεθηρμόζετο, τῶν καταθυμίων λόγων αὐτή τε κατάρχουσα καὶ ἡμῖν τὰς ἀφορμὰς, δι' ὧν ἠρώτα, παρασκευάζουσα. Τῆς δὲ περὶ τοῦ μεγάλου Βασιλείου μνήμης τῇ ἀκολουθίᾳ τοῦ λύγου παρεμπεσούσης, ἐμοὶ μὲν ἐπώκλαζεν ἡ ψυχὴ, καὶ συνέπιπτεν ἐν κατηφείᾳ τὸ πρόςωπον· ἡ δὲ τοσοῦτον ἀπέσχε τῷ ἡμετέρῳ συνταπεινωθῆναι πάθει, ὥςτε ἀφορμὴν ποιησαμένη τῆς ὑψηλοτέρας φιλοσοφίας τὴν περὶ τοῦ ἁγίου μνήμην, τοιούτους διεξῆλθε λόγους, φυσιολογοῦσά τε τὸν ἀνθρώπινον, καὶ τὴν θείαν οἰκονομίαν τὴν διὰ τῶν σκυθρωπῶν κεκρυμμένην τῷ λόγῳ διακαλύπτουσα, τά τε περὶ τῆς μελλούσης ζωῆς, καθάπερ θεοφορουμένη τῷ ἁγίῳ πνεύματι διεξιοῦσα, ὥςτε μοι τὴν ψυχὴν ἔξω μικροῦ δεῖν τῆς ἀνθρωπίνης φύσεως εἶναι δοκεῖν συνεπαρθεῖσαν τοῖς λεγομένοις, καὶ ἐντὸς τῶν οὐρανίων ἀδύτων τῇ χειραγωγίᾳ τοῦ λόγου καθιςαμένην.*

nitebatur, seque omni ratione ad hilaritatem revocabat, et iucundi sermonis ipsa initium faciens et nobis interrogando materiam praebens. Sed quum orationis consequutione in magni Basilii mentionem incidisset, mihi vehementer commovebatur animus et prae maestitia concidebat vultus; at illa tantum abfuit, ut eadem, qua nos, perturbatione deiiceretur, ut ex sancti illius memoria sublimioris philosophiae materiam petens, ea disputaret, rerum humanarum causas exquirens, et providentiam dei rebus adversis occultam oratione aperiens, et quae ad futuram vitam pertinent, quasi afflata sancto spiritu, percurrens, ut animus dictis illius simul elatus extra hominis naturam positus, eiusque oratione in caeli adytis constitutus esse videretur.“

Et inferius[1]): „Et nisi scriptio in immensum extenderetur, omnia ordine narrassem, quomodo elata sit dicendo, de anima philosophans vitaeque, quae in carne degitur, causam percurrens, et

---

1) Ibid. p. 190. B.: *Καὶ εἰ μὴ πρὸς ἄπειρον ἐξετείνετο μῆκος ἡ συγγραφὴ, πάντα ἂν καθεξῆς διηγησάμην· ὅπως ἐπήρθη τῷ λόγῳ περί τε τῆς ψυχῆς ἡμῖν φιλοσοφοῦσα, καὶ τῆς διὰ σαρκὸς ζωῆς τὴν αἰτίαν διεξιοῦσα, καὶ ὅτου χάριν ὁ ἄνθρωπος, καὶ ὅπως θνητὸς, καὶ ὅθεν ὁ θάνατος* (*Zinus* legit *ἀθάνατος*, quippe qui verterit: ***immortalis***), *καὶ τίς ἡ ἀπὸ τούτου πρὸς τὴν ζωὴν πάλιν ἀνάλυσις. Ἐν οἷς ἅπασιν, ὥςπερ ἐμπνευσθεῖσα τῇ δυνάμει τοῦ ἁγίου πνεύματος πάντα διεξῄει σαφῶς* (*Zinus* legit *σοφῶς* vertens: ***sapienter***) *τε καὶ ἀκολούθως, ἐν εὐκολίᾳ πάσῃ τοῦ λόγου ῥέοντος, καθάπερ ἐκ πηγῆς τινὸς, καὶ ἀπαραποδίσως πρὸς τὸ πρανὲς φερομένου τοῦ ὕδατος.*

quem ad finem homo, et quomodo mortalis, et unde mors, et quae hinc ad vitam resolutio. In quibus omnibus, tanquam afflata sancto spiritu, omnia distincte et consentanee declarabat, oratione facillime fluente, tanquam aqua ex fonte aliquo et sine ullo impedimento ad pronum delata."

Ita cum Gregorio commentabatur Macrina, quae paucis deinde post diebus mortua est. Et Gregorius dilectissimae sorori, parentum tumulo mandatae, extremum tristissimumque officium praestitit.

Nec multo post illae cum sorore commentationes occasionem ei videntur dedisse egregium hunc dialogum elaborandi, quo memoriam sapientissimae virginis, quam honorificentissimo *magistrae* nomine nuncupat, pie celebraret.

Nunc de auxiliis, quae ad textum emendandum praesto fuerunt, dicendum est.

Codices, quos ipse contuli, sunt hi:

1. Monac. 23. (olim Fuggerianus), apud me Mon. A, saeculi XVI., chartaceus, formae maioris. Fol. 19, a—62, a. Vid. *Hardt.* Catalog. Codicum MSS. Bibliothecae Reg. Bavar. T. I. p. 105.

2. Monac. 47. (olim Fuggerianus), apud me Mon. B, eiusdem saeculi, item chartaceus, formae maioris. Fol. 1, a—44, a. Vid. *Hardt.* T. c. p. 226. Insunt huic libro, exarato ab *Joanne Naupliensi Murmureo*, librario satis im-

perito, etiam scholia, plerumque in textum illata, et multae correctiones, partim inter lineas, maxima tamen ex parte a rec. man. in marg. notatae, quas a manu *Laurentii Sifani* profectas esse ego nullus dubito. Vid. *Sifan.* Praefat. in fin.

3. Monac. 192. (olim Fuggerianus), apud me Mon. C, saec. XIV., chartaceus, formae paulo minoris, bipartitus. Fol. 178, a—224, a. Vid. *Hardt.* T. II. p. 259. seqq. Miror non, ut librum B, ita etiam libros AC cum Sifano a Fuggeris esse communicatos.

4. Monac. 438. (olim Augustanus p. 22. n. 11.), apud me Mon. D, saec. XIV., bombycinus, formae maioris. Fol. 271, a—322, b. Exaratus est a manu diversa et posessus a *Georgio Birgota*, qui eum emerat a primicerio Romano a. 1489. Vid. *Hardt.* T. IV. p. 356. et 358.

5. Monac. 562. (olim Augustanus p. 34. n. 13.), apud me Mon. E, saec. XI. et XV., partim membranaceus, partim chartaceus, formae quadratae minoris. Fol. 117, a—145, b. (in membr.) et 146—170, b. (in chart. exarat.). Vid. *Hardt.* T. V. p. 424. seqq.

Praeter hos libros Monacenses usus sum lectionibus variantibus Codicum *Hasselmanniani* et *Uffenbachiani*, quorum ille ab *Jo. Christoph. Wolfio*, ad quem pervenit beneficio *Zachariae Hasselmanni*, verbi divini apud Oldenburgenses in Wagria ministri, in Anecdott. Graecc. T. II. Praefat. ita describitur:

Est hic, meo iudicio, chartaceus, saec. XIV., formae quadrat., diligenter et curate exaratus, atque id habens praecipuum, quod, quum commentatio haec disputationis formam referat, colloquentium sermones descriptis rubro colore disputantium *Gregorii* et *Macrinae* nominibus, a se invicem distinguuntur.

Uffenbachianus, teste *Jo. Henrico Maio* in Bibliothecae Uffenbachianae MStae Part. II. p. 425., exaratus est saec. XIV., in charta, formamque refert quarti ordinis. Incipit haec disputatio folio 157, a. et decurrit usque ad p. 257. „Et hic", annotavit *Maius*, „additae marginibus sunt varietates lectionum, calligraphi primam manum calamumque agnoscentes. Ad calcem disputationis, nempe folio 251, b. occurrunt παρασημειώσεις τινὲς, *scholia quaedam*, ad hunc ipsum tractatum. Horum scholiorum aliqua e regione textus poni coeperunt, mox cum marginis spatium non caperet omnia, reiecta ad hunc postremum fuere locum." Paulo post monet scholia ipso codice esse recentiora et sero addita.

Contulit hoc exemplum in *J. Chr. Wolfii* usum, rogante *Zach. Conr. Uffenbachio*, *Steinhelius*, Poloniarum regis minister residens in urbe ad Moenum Francofurtana.

Utriusque illius Codicis lectionum varietate instructus, primam huius dialogi partem usque ad p. 188. B.: ἡ δὲ λέγεται, φησὶ, recensuit et Si-

fani translationem, notasque criticas addidit *J. Christ. Wolfius* Anecdott. Gr. T. c. p. 274—319. Dein usque ad p. 330. nil nisi lectiones variantes exhibet, quae continuantur T. III. p. 1—47.

Restat, ut de Codicum affinitate paucis exponam. Codd. Monacc. AC ex uno eodemque fonte fluxerunt, et saepe ab reliquis libris plane differunt. Ita et Cod. Monac. B cum Uffenbachiano eiusdem est familiae, et modo faciunt cum Monacc. AC, modo cum DE. Duo posteriores in altera parte libri Mon. E inter se plerumque conspirant, nec raro cum Mon. AC in optimis lectionibus egregie consentiunt. Hasselmannianus autem quamquam in singulis a praecedentibus interdum discrepat, plerumque tamen cum iis veram lectionem communem habet. Dialogi personae, quae in editt. Pariss. desunt, in omnibus his libris notatae reperiuntur, eo tamen discrimine, ut in Monacc. AC pro *Μαχρῖνα* legatur *ἡ διδάσκαλος*.

Ceterum ad criticam rationem non parum mihi profuerunt duo libri manu exarati, quibus continetur *Philippi Solitarii* Dioptra, s. Regula rei Christianae. Horum prior est

Cod. Monac. 509., olim Augustanus p. 34. n. 12, ex quo hunc Philippi librum in sermonem Latinum conversum edidit *Jac. Pontanus* Ingolstad. 1604, 4., insignitus a me cod. Phil. 1., saec. XV., bombyc., form. quadrat. Vid. *Hardt.* T. V. p. 242. seqq. Gregorii excerpta ibi habentur p. 157—168. et 168—187.

Alter est Cod. Monac. 522, olim Augustanus p. 33. n. 9., notatus a me Phil. 2., saec. XV., chartaceus, form. quadr., valde negligenter scriptus, haud tamen contemnendus. Continentur loci e Gregorio exscripti fol. 80, b—87, a et 88, a—92, a.

Hunc fontem criticum amicissime mihi aperuit vir iuvenis doctissimus *Albertus Jahnius*, Bernensis, nuper Creuzerianae disciplinae alumnus, nunc apud Biennenses egregia cum laude bonas literas docens, qui praeterito anno diutius Monachii commoratus, Codices Graecos bibliothecae Reg. in usum studiorum Platonicorum, in quibus omne fere tempus consumit, quam diligentissime excussit.

His subsidiis adiunxi Theophanem Cerameum, qui Gregorium nostrum frequenter expilavit, nomine tamen auctoris nusquam memorato [1]). Etiam huius libri notitiam *Alb. Jahnii* benevolentiae refero acceptam.

Praeterea ad manus fuerunt, ut de editis Gregorii libris dicam:

Gregorii Nysseni Opera omnia, Graece et Latine nunc primum ex MSS. Codd. in lucem edita. Parisiis ex offic. Nivell. ap. Sebast. Cramoisy CI . IↃC. XV. in fol. Tom. II.

Eiusdem Opera. Nunc denuo correctius et ac-

---

1) Prodierunt *Theophanis* Homiliae cura *Francisci Scorsi* Panormitani Lutet. Paris. 1644. fol.

curatius edita, aucta et notis, nec non indicibus necessariis ornata etc. Parisiis. Sumptibus Aegidii Morelli. M. DC. XXXVIII. in fol. Tomi III.

D. Gregorii Nyssae pontificis, magni Basilii fratris, de immortalitate animae cum sua sorore Macrina Dialogus, nunquam antehac neque Graece, neque Latine excussus. *Daniele Augentio* interprete. Parisiis. 1557. 8.

Divi Gregorii, episcopi Nysseni, fratris Basilii Magni, Opera, quae adipisci licuit omnia, pleraque antehac nunquam visa, de Graeco in Latinum a diversis, sed potissimum a D. *Laurentio Sifano* J. U. D. translata. Basileae excudebat Nic. Episcopius F. Anno M. D. LXII. fol.

Subscripsit in isto bibliothecae Reg. Monacensis exemplari, quo ego sum usus, ipse *Sifanus*: „Illustri ac generoso domino, domino Theodorico, Comiti Virnemburgensi, Mandrescheitano et Blancancimensi: Baroni Sleidano etc. etc. domino suo charissimo Laurentius Sifanus Prunsfeldius J. U. Doctor D. D.“ Marginibus ab interpretis manu passim correctiones sunt adiectae, quae in editiones Pariss. transmigrarunt. At criticarum notularum, in Basileensi editione hic illic margini additarum, Parisienses nihil habuisse rationis per mihi mirum videtur.

Venio ad interpretationem Latinam. In hac conficienda id praecipue spectavi, ut modo Sifanum, modo Augentium, prout visum est, duces

sequutus; saepius autem ab utroque recedens, eam maxime fidelem castigatamque exhiberem.

Annotationibus criticis et exegeticis permagnum accessit momentum ex doctis symbolis, quas humanissime mecum communicavit *Albertus Jahnius*, vir iuvenis egregii ingenii et praeclarae eruditionis, qui, quantum auguror coniectura, mox luculentis doctrinae speciminibus et de bonis literis et imprimis de studiis Platonicis insigniter est meriturus.

Scribebam Monachii d. 18. Maii 1837.

Ex Praefatione Laurentii Sifani, J. U. Doct., Marco et Johanni Fuggeris, Antonii Fuggeri filiis, Waissenhorni, Kirchpergaeque dominis, etc. dicata.

Divi Gregorii, episcopi Nysseni, qui magni illius Basilii frater fuit, opuscula theologica nescio qua felicitate, magno certe labore atque diligentia proximis annis in linguam Latinam a me conversa, quorum nomini dedicarem patrocinioque commendarem, vos mihi carissimi atque amplissimi viri potissimum idonei visi estis, idque multis gravissimisque de causis. Primum enim, quoniam in utroque sermone, Latino scilicet atque Graeco, discendo simul et exercendo domestica opera mea usi estis, haud alienum me facturum esse putavi, si praeter rudimenta linguae Graecae, quae ex diversorum Grammaticorum libris a me collecta atque ad captum aetatis vestrae accomodata satis feliciter ac mature, me paulatim tradente, accepistis, aliquod maius relinquerem monumentum, quo quum vos vestrae mecum consuetudinis ac familiaritatis perpetuo commonefacerem, tum fortassis aliquod etiam adiumentum hominibus studiosis ac doctis, sed Graecae linguae minus peritis afferrem. Huc accedit, quod inchoato iam opere, quum et argumenti difficultate (quippe in aliena versabar professione) et apographi vitio, quo uno in initio duntaxat utebar, anxius atque perplexus, et inter cupiditatem absolvendi desperationemque cum laude perficiendi dubius haererem et ambiguus, pergeremne absolvere, an omitterem inceptum, patris vestri, cui nihil denegare debebam, hortatu potissimum ad perseverandum in eo, quod ceperam, impulsus sum. Quod quo facilius atque commodius facerem, vos mihi ex bibliotheca clarissimi atque amplissimi viri, domini *Johannis Jacobi Fuggeri*, fratris vestri patruelis, quatuor codices confecistis, in quibus pleraque quae transferenda susceperam, continebantur[1]). Qui libri quamquam in

1) Asservantur nunc quattuor illi Codd. in bibliotheca Reg. Monacensi (constat enim bibliothecam *Joannis Jacobi Fuggeri*, Graecis libris ditissimam, a generosissimo principe *Alberto* V., Bavariae duce, qui bibliothecae Monacensis fundamenta iecit, cum aliis libro-

plerisque locis haud minus vitiosi indiligenterque transscripti erant, quam id volumen, quo ego utebar: tamen, ut fere fit, magna felicitate atque commodo meo accidit, ut in quibus locis meum exemplum mutilum atque depravatum erat, ea loca vel integra atque incorrupta in illis codicibus haberentur, vel si quid desiderabatur, faciliore coniectura quod deesset, suppleri ex meo volumine posset: contra ubi illa apographa vitiosa ac mutila erant, ibi meum exemplar integrum et sanum esset. Itaque quum haud mediocriter istorum codicum subsidio sublevatus atque adiutus sum, tum magnam eo nomine et vobis et domino *Johanni Jacobo* gratiam et habeo et ago. — — — — — — —

— — Quod ad libellum de anima attinet, postea quam illum converteram, vidi eundem Lutetiae editum et ab *Daniele Augentio*, iuvene, opinor, Gallo translatum. Eum primus attulit ad me *Arnoldus Bircomannus*, vir eruditione atque iudicio non cum typographis ac librariis, sed cum hominibus doctissimis comparandus: quem nisi huius rei testem haberem, hoc, quod dixi, silentio praetermitterem. Haud displicuerunt autem pleraque ac iudicavi, id quod res est, ab homine docto ea translata esse, sed illum (quod et mihi initio acciderat) in eodem libello emendato ac probo apographo caruisse: in quo opere quid ego praestiterim, aliorum hominum ac vestrum (utriusque nostrum collata editione) iudicium esto. Duplicem autem in plurimis locis cepi laborem, ex iis voluminibus, quae vos ad me misistis, ea, quae antea transtuleram, sicuti inveneram in primo exemplari depravata ac mutila, vel mutare, vel corrigere, vel praetermissa ex vestris libris adiicere coactus; multis item in locis, ubi utraque probabilis et a proposito non esset aliena, duplicem reddidi lectionem: ac ut taceam de reliquis, ut minimum treis menses totos occupatus fui in corrigendo dialogo de immortalitate animae atque resurrectione mortuorum. — — —

Sed sunt sane in memorato libello loca nonnulla suspecta, quae pius quidam et doctus vir, cuius nomen editum non est, animadvertit et scholiis appositis (quae, in meo omissa, exstant in apographo do. *Johan. Jacobi*[2]) vitium eorum locorum corrigere nititur et emendare: quae scholia ego quoque postea adieci. — —

---

rum MSS. copiis emptam esse) et insigniti sunt Num. 32, 47, 107, et 179, in quibus omnibus, quod Nysseni scripta attinet, manus deprehenditur *Laurentii Sifani*, qui lectiones variantes, e suo exemplo enotatas, marginibus apposuit.

2) Nunc Cod. Gr. Monac. Nr. 47, de quo supra memoravi.

VETERUM SCRIPTORUM

DE

GREGORIO NYSSENO

TESTIMONIA.

I.

Gregorii Nazianz. ad Gregorium Nyssenum Epist. 37.

Καὶ τοῦτο ἀπείκετο τῇ μοχθηρᾷ μου ζωῇ, τὸ Βασιλείου θάνατον ἀκοῦσαι, καὶ τῆς ἁγίας ψυχῆς ἐκδημίαν, ἣν ἐξεδήμησεν ἀφ' ἡμῶν, ἵν' ἐνδημήσῃ πρὸς κύριον, πάντα τὸν βίον μελέτην τούτου πεποιημένος. Ἀλλ' ἐγὼ μὲν πλὴν τῶν ἄλλων καὶ τοῦτο ἀφήρημαι διὰ τὸ νῦν ἔτι πονήρως ἔχειν τοῦ σώματος καὶ λίαν ἐπικινδύνως, τὸ καὶ περιπτύξασθαι τὴν ἁγίαν κόνιν, καί σοι παρεῖναι τὰ εἰκότα φιλοσοφοῦντι καὶ τοὺς κοινοὺς ἡμῶν φίλους παραμυθήσασθαι. Τὸ γὰρ τὴν τῆς ἐκκλησίας ἰδεῖν ἐρημίαν, τοιαύτην ἀποκειραμένης δόξαν, καὶ τοιοῦτον ἀποσεισαμένης σέφανον, οὔτε ὄψει θεατὸν, οὔτε ἀκοῇ χωρητὸν, τοῖς γε νοῦν ἔχουσι. Σὺ δὲ μοὶ δοκεῖς πολλῶν ὄντων καὶ φίλων καὶ λόγων τῶν εἰς παράκλησιν ὑπ' οὐδενὸς ἂν οὕτω παρακληθῆναι, ὡς ὑπὸ σεαυτοῦ καὶ τῆς ἐκείνου μνήμης· οἳ καὶ τοῖς ἄλλοις πᾶσι γεγόνατε φιλοσοφίας ὑπόδειγμα, καὶ οἷόν τις ράθμη πνευματικὴ τῆς τε ἐν τοῖς χρηστοῖς εὐταξίας, καὶ τῆς ἐν τοῖς ἀνιαροῖς καρτερίας, ἐπειδὴ δύο ταῦτα οἶδε φιλοσοφία, εὐπραξίαν τε διαθέσθαι μετρίως καὶ συμφορὰν εὐσχημόνως. Ταῦτα παρ' ἡμῶν πρὸς τὴν σὴν τιμιότητα. Ἐμὲ δὲ τίς παραμυθήσεται χρόνος, ἢ λόγος τὸν ταῦτα γράφοντα, πλὴν τῆς σῆς συνουσίας καὶ ὁμιλίας, ἣν ἀντὶ πάντων ἡμῖν ὁ μακάριος καταλέλοιπεν, ἵνα ἐν σοὶ τὰ ἐκείνου καθορῶντες, ὥσπερ ἐν ἐσόπτρῳ καλῷ τε καὶ διαυγεῖ, κἀκεῖνον ἔχειν νομίζωμεν;

II.

Photii Bibliothec. ed. Imman. Bekker. Cod. 6.

Ἀνεγνώσθη Γρηγορίου Νύσσης ὁμοίως ὑπὲρ Βασιλείου κατ' Εὐνομίου. Τὴν δὲ φράσιν, εἴ τις ἄλλος ῥητόρων, λαμ-

* *

πρὸς καὶ ἡδονῆς ὧσιν ἀποζάζων, οὐ μέντοι καθεξῆς οὐδ' αὐτὸς τὴν Εὐνομίου γραφὴν ἀπελέγχει. Διὸ καὶ συντομώτερός ἐξι Θεοδώρου, Σωφρονίου δὲ πλατύτερος· πλεονάζει γὰρ τοῖς ἐνθυμήμασι καὶ τοῖς παραδείγμασιν. Ἔξι δὲ ἀδεκάσως εἰπεῖν ὡς ὅσον ὑπερβάλλει κάλλει τε καὶ λαμπρότητι καὶ τῷ ἡδυτάτῳ Θεόδωρον, τοσοῦτον ἐκείνου τοῦτον τὸ πλῆθος τῶν ἐπιχειρημάτων καὶ τὸ γόνιμον εἰς τὸ προέχειν ἐκβιάζεται.

Cod. 7.

Ἀνεγνώσθη ἑτέρα πραγματεία τοῦ αὐτοῦ Γρηγορίου Νύσσης περὶ τῆς αὐτῆς ὑποθέσεως, ἐν ᾗ λογικώτερον Εὐνομίῳ συμπλακεὶς κατὰ κράτος αἱρεῖ, πάντα σαθρώσας τῆς δυσσεβείας αὐτοῦ τὰ ὀχυρώματα. Τὸ δὲ κάλλος τοῦ λόγου καὶ ἡ σύγκρατος λαμπρότης γλυκύτητι κάνταῦθα διαπρεπῶς ἐπιδείκνυται.

Cod. 233.

Ἀνεγνώσθη βιβλίον τὸν ἐν ἁγίοις Γερμανὸν φέρον συγγραφέα, ὃς μετὰ τὸ Κυζίκου χειροτονηθῆναι Κωνσταντινουπόλεως ἐχρημάτισεν ἀρχιερεύς· ἀνταποδοτικὸς δὲ ἦ ἀνόθευτος τὴν ἐπιγραφὴν ἔχει, ὃ ἴσον ἂν εἴη περὶ τῆς ἀνοθεύτου τῶν βεβιωμένων ἀνθρώποις ἀνταποδόσεως. Τῆς μὲν οὖν ἐπιγραφῆς ἡ ἐπαγγελία τοιαύτη, ἀγωνίζεται δὲ ὁ λόγος τὸν ἐν ἁγίοις τῆς Νύσσης Γρηγόριον καὶ τὰ τούτου συγγράμματα τῆς Ὠριγενείου παρασχεῖν ἐλεύθερα λώβης. Καὶ γὰρ οἷς τοῦ δαιμονίου φύλου καὶ τῶν εἰς κόλασιν ἀτελεύτητον παραπεμπομένων ἀνθρώπων ἡ λῆρος ἀποκατάστασις φίλον, οὗτοι δή, ἅτε τὸν ἄνδρα ὑψηλόν τε τοῖς δόγμασι καὶ πολὺν τοῖς τῶν λόγων ῥεύμασιν εἰδότες, καὶ λαμπρὰν τῆς εὐσεβείας τὴν ὑπόληψιν εἰς πάντας ἀνθρώπους περιηχηθεῖσαν ὁρῶντες, ἐπεβάλοντο παρενεῖραι τοῖς ἐκείνου φωτιστικοῖς καὶ σωτηρίοις λόγοις τὰ ζοφώδη καὶ ὀλέθρια τῆς Ὠριγένους ὀνειρώξεως ἀμβλωθρίδια, τῇ τοῦ ἀνδρὸς περιωνύμῳ ἀρετῇ τε καὶ γνώσει τὴν αἱρετικὴν ὑποβαλεῖν λαθραίως διανοηθέντες ἀπόνοιαν. Διότι τοῦτο μὲν προσθήκαις νόθοις, τοῦτο δὲ καὶ διαστροφῇ τῶν ὀρθῶν λογισμῶν βεβιασμένη, πολλὰ τῶν ἀμωμήτων ἐκείνου συνταγμάτων κατακιβδηλεύειν ἐπειράθησαν. Καθ' ὧν Γερμανὸς ὁ τῆς εὐσεβείας συνήγορος ὀξὺ τῆς ἀληθείας ἐπαφεὶς τὸ ξίφος, καὶ νεκροὺς τῇ πληγῇ λιπὼν τοὺς πολεμίους, νικηφόρον καὶ πρωταγωνιστὴν τὸν καθ' οὗ τὰς ἐπιβουλὰς ἡ αἱρετικὴ φάλαγξ ἐῤῥαδιούργει καὶ κατεσκεύαζε παρεσήσατο. Ἔξι μὲν οὖν ὁ ἀνὴρ ἐν τῷ παρόντι λόγῳ καθαρός τε καὶ διειδὴς, καὶ τὰς ἐν ὀνόμασι τροπὰς εὐσχόλως ὑποβαλλόμενος, καὶ τὴν μὲν φράσιν ἡδύνων, οὐχ ὑφελκόμενος δὲ πρὸς ψυχρότητα, γενναῖος

Gregorii Nazianz. ad Gregorium Nyssenum Epist. 37.

Καὶ τοῦτο ἀπέκειτο τῇ μοχθηρᾷ μου ζωῇ, τὸ Βασιλείου θάνατον ἀκοῦσαι, καὶ τῆς ἁγίας ψυχῆς ἐκδημίαν, ἣν ἐξεδήμησεν ἀφ' ἡμῶν, ἵν' ἐνδημήσῃ πρὸς κύριον, πάντα τὸν βίον μελέτην τούτου πεποιημένος. Ἀλλ' ἐγὼ μὲν πλὴν τῶν ἄλλων καὶ τοῦτο ἀφήρημαι διὰ τὸ νῦν ἔτι πονήρως ἔχει τοῦ σώματος καὶ λίαν ἐπικινδύνως, τὸ καὶ περιπτύξασθαι τὴν ἁγίαν κόνιν, καί σοι παρεῖναι τὰ εἰκότα φιλοσοφοῦντι καὶ τοὺς κοινοὺς ἡμῶν φίλους παραμυθήσασθαι. Τὸ γὰρ τὴν τῆς ἐκκλησίας ἰδεῖν ἐρημίαν, τοιαύτην ἀποκειραμένης δόξαν, καὶ τοιοῦτον ἀποσεισαμένης σέφανον, οὔτε ὄψει θεατὸν, οὔτε ἀκοῇ χωρητὸν, τοῖς γε νοῦν ἔχουσι. Σὺ δέ μοι δοκεῖς πολλῶν ὄντων καὶ φίλων καὶ λόγων τῶν εἰς παράκλησιν ὑπ' οὐδενὸς ἂν οὕτω παρακληθῆναι, ὡς ὑπὸ σεαυτοῦ καὶ τῆς ἐκείνου μνήμης· οἳ καὶ τοῖς ἄλλοις πᾶσι γεγόνατε φιλοσοφίας ὑπόδειγμα, καὶ οἷόν τις ῥάθμη πνευματικὴ τῆς τε ἐν τοῖς χρηστοῖς εὐταξίας, καὶ τῆς ἐν τοῖς ἀνιαροῖς καρτερίας, ἐπειδὴ δύο ταῦτα οἶδε φιλοσοφία, εὐπραξίαν τε διαθέσθαι μετρίως καὶ συμφορὰν εὐσχημόνως. Ταῦτα παρ' ἡμῶν πρὸς τὴν τιμιότητα. Ἐμὲ δὲ τίς παραμυθήσεται χρόνος, ἢ λόγος τὸν ταῦτα γράφοντα, πλὴν τῆς σῆς συνουσίας καὶ ὁμιλίας, ἣν ἀντὶ πάντων ἡμῖν ὁ μακάριος καταλέλοιπεν, ἵνα ἐν σοὶ τὰ ἐκείνου καθορῶντες, ὥςπερ ἐν ἐςόπτρῳ καλῷ τε καὶ διαυγεῖ, κἀκεῖνον ἔχειν νομίζομεν;

Photii Bibliothec. ed. Imman. Bekker. Cod. 6.

Ἀνεγνώσθη Γρηγορίου Νύσσης ὁμοίως ὑπὲρ Βασιλείου κατ' Εὐνομίου. Τὴν δὲ φράσιν, εἴ τις ἄλλος ῥητόρων, λαμ-

* *

πρὸς καὶ ἡδονῆς ὧσιν ἀποσάζων, οὐ μέντοι καθεξῆς οὐδ' αὐτὸς τὴν Εὐνομίου γραφὴν ἀπελέγχει. Διὸ καὶ συντομώτερός ἐστι Θεοδώρου, Σωφρονίου δὲ πλατύτερος· πλεονάζει γὰρ τοῖς ἐνθυμήμασι καὶ τοῖς παραδείγμασιν. Ἔστι δὲ ἀδεκάστως εἰπεῖν ὡς ὅσον ὑπερβάλλει κάλλει τε καὶ λαμπρότητι καὶ τῷ ἡδυτάτῳ Θεόδωρον, τοσοῦτον ἐκείνου τοῦτον τὸ πλῆθος τῶν ἐπιχειρημάτων καὶ τὸ γόνιμον εἰς τὸ προέχειν ἐκβιάζεται.

Cod. 7.

Ἀνεγνώσθη ἑτέρα πραγματεία τοῦ αὐτοῦ Γρηγορίου Νίσσης περὶ τῆς αὐτῆς ὑποθέσεως, ἐν ᾗ λογικώτερον Εὐνομίῳ συμπλακεὶς κατὰ κράτος αἱρεῖ, πάντα σαθρώσας τῆς δυσσεβείας αὐτοῦ τὰ ὀχυρώματα. Τὸ δὲ κάλλος τοῦ λόγου καὶ ἡ σύγκρατος λαμπρότης γλυκύτητι κάνταῦθα διαπρεπῶς ἐπιδείκνυται.

Cod. 233.

Ἀνεγνώσθη βιβλίον τὸν ἐν ἁγίοις Γερμανὸν φέρον συγγραφέα, ὃς μετὰ τὸ Κυζίκου χειροτονηθῆναι Κωνσταντινουπόλεως ἐχρημάτισεν ἀρχιερεύς· ἀνταποδοτικὸς δὲ ἡ ἀνόθευτος τὴν ἐπιγραφὴν ἔχει, ὃ ἴσον ἂν εἴη περὶ τῆς ἀνοθεύτου τῶν βεβιωμένων ἀνθρώποις ἀνταποδόσεως. Τῆς μὲν οὖν ἐπιγραφῆς ἡ ἐπαγγελία τοιαύτη, ἀγωνίζεται δὲ ὁ λόγος τὸν ἐν ἁγίοις τῆς Νύσσης Γρηγόριον καὶ τὰ τούτου συγγράμματα τῆς Ὠριγενείου παρασχεῖν ἐλεύθερα λώβης. Καὶ γὰρ οἷς τοῦ δαιμονίου φύλου καὶ τῶν εἰς κόλασιν ἀτελεύτητον παραπεμπομένων ἀνθρώπων ἡ λῆρος ἀποκατάσασις φίλον, οὗτοι δή, ἅτε τὸν ἄνδρα ὑψηλόν τε τοῖς δόγμασι καὶ πολὺν τοῖς τῶν λόγων ῥεύμασιν εἰδότες, καὶ λαμπρὰν τῆς εὐσεβείας τὴν ὑπόληψιν εἰς πάντας ἀνθρώπους περιηχηθεῖσαν ὁρῶντες, ἐπεβάλοντο παρενεῖραι τοῖς ἐκείνου φωτισικοῖς καὶ σωτηρίοις λόγοις τὰ ζοφώδη καὶ ὀλέθρια τῆς Ὠριγένους ὀνειρώξεως ἀμβλωθρίδια, τῇ τοῦ ἀνδρὸς περιωνύμῳ ἀρετῇ τε καὶ γνώσει τὴν αἱρετικὴν ὑποβαλεῖν λαθραίως διανοηθέντες ἀπόνοιαν. Διότι τοῦτο μὲν προσθήκαις νόθοις, τοῦτο δὲ καὶ διαστροφῇ τῶν ὀρθῶν λογισμῶν βεβιασμένη, πολλὰ τῶν ἀμωμήτων ἐκείνου συνταγμάτων κατακιβδηλεύειν ἐπειράθησαν. Καθ' ὧν Γερμανὸς ὁ τῆς εὐσεβείας συνήγορος ὀξὺ τῆς ἀληθείας ἐπαφεὶς τὸ ξίφος, καὶ νεκροὺς τῇ πληγῇ λιπὼν τοὺς πολεμίους, νικηφόρον καὶ πρωταγωνιστὴν τὸν καθ' οὗ τὰς ἐπιβουλὰς ἡ αἱρετικὴ φάλαγξ ἐρραδιούργει καὶ κατεσκεύαζε παρεσήσατο. Ἔστι μὲν οὖν ὁ ἀνὴρ ἐν τῷ παρόντι λόγῳ καθαρός τε καὶ διειδὴς, καὶ τὰς ἐν ὀνόμασι τροπὰς εὐσόχως ὑποβαλλόμενος, καὶ τὴν μὲν φράσιν ἡδύνων, οὐχ ὑφελκόμενος δὲ πρὸς ψυχρότητα, γενναῖος

μὲν τοῦ ἐπιβαλεῖν, τῇ προθέσει ὅμοιος δὲ διελθεῖν τὰ ἀγωνίσματα, καὶ τοῦ μὲν ἀναγκαίου μηδὲν ἔξωδεν παραπλέκων, οὐδὲν δὲ τῶν ὀφειλόντων ῥηθῆναι παρορῶν, οὔτε ταῖς κατασκευαῖς, οὔτε τοῖς ἐπιχειρήμασιν, οὔτε τοῖς ἐνθυμήμασιν. Ἀλλ' ἔστιν ὥσπερ τῶν εὐσεβῶν δογμάτων κανὼν ἀπαρέγκλιτος, οὕτω καὶ τῶν, εἴ τις ἐθέλει λόγους γράφειν δυνατοὺς καὶ σαφεῖς καὶ χαρίεντας καὶ πνευματικὴν διδασκαλίαν προτιμῶντας τῆς ἐπιδείξεως, καλὸν παράδειγμα καὶ ἀξιοζήλωτον.

Ἐπιῤῥαπίζει μὲν οὖν πρότερον τὸ αἱρετικὸν δόγμα, ὃ τῆς ἀποκαταστάσεως τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον καὶ τῶν δαιμόνων εἰς τό ἀρχαῖον καὶ τῶν ἐν ἁμαρτίαις καταλυσάντων τὸν βίον, μετά τινας ποινὰς ὡρισμένας εἰς τὸν χόρον τῶν δικαίων μετελθεῖν τερατεύεται. Ἐλέγχει δὲ τὸ μυθῶδες τοῦτο δυσσέβημα πρῶτον μὲν ἐξ αὐτῶν τῶν δεσποτικῶν φωνῶν, δεύτερον δὲ ἐκ τῶν ἀποστολικῶν κηρυγμάτων, οἷς καὶ προφητικὰς ἐπισυνάπτει μαρτυρίας, τρανολογούσας ὥσπερ αἰώνιον τὴν τῶν δικαίων ἀνεκλάλητον ἀπόλαυσιν, οὕτω καὶ τὴν τῶν ἁμαρτωλῶν ἀτελεύτητόν τε καὶ ἀνυπόστατον κόλασιν. Οὐκ ἐκ τῶν εἰρημένων δὲ μόνον χρήσεων τὸ αἱρετικὸν καὶ ἀλλόφυλον καταβάλλει φρύαγμα, ἀλλὰ καὶ ἐξ ἄλλων ἱερῶν ἀνδρῶν, ναὶ δὴ (τὸ κραταιότερον) καὶ ἐκ λογίων αὐτοῦ ἐκείνου, ὃν κακομηχάνως ἡ αἵρησις συνήγορον λαβεῖν ἠγωνίζετο. Διὰ δὴ τούτων ἁπασῶν τῶν ἱερολογιῶν τὸ μὲν παθοποιὸν καὶ ψυχοφθόρον πάσης ἐκκλησιαστικῆς χοροστασίας ἀπελαύνων ἀνεδείχθη μυθολόγημα, τὸ δὲ τῆς εὐσεβείας μισοπόνηρον κρατύνων τε καὶ ἀνυψῶν φρόνημα. Οὕτω δὲ προδιασκευάσας καὶ κραταιωσάμενος τὸ τῆς ἀληθείας ὀχύρωμα, ἐξ οὗ καταβαλεῖν ῥᾴον ἔμελλε τὸν πολέμιον, τὰ ῥητὰ λοιπὸν μετὰ ταῦτα τοῦ ἱεροῦ προάγει πατρὸς, οἷς οἱ κακοὶ καὶ πονηροὶ τῶν δογμάτων κάπηλοι τὸν οἶνον ὕδατι μιγνύντες κιβδηλεύειν αὐτὰ, μᾶλλον δὲ τὰ τῆς ἐκκλησίας ἐμελέτησαν διδάγματα. Ταῦτα δὴ τὰ ἱερὰ ῥητὰ προθεὶς, ἐαλωκότας ἐπ' αὐτοφώρῳ τοὺς Ὠριγενιαστὰς οἷς ἐκακούργουν ἐθριάμβευσε, τοῦτο μὲν ἀπηρυθριασμένως καὶ ἀναισχύντοις προσθήκαις ἐπινοθεύοντας διελέγχων τὰ ἀνόθευτα, τοῦτο δὲ καὶ τὸ συνεχὲς ὑφορωμένους τῆς προσθήκης, ἐκ πολλῆς ἄλλης αὐθαδείας τε καὶ ἀπονοίας, πρὸς τὴν αἱρετικὴν αὐτῶν ἐπίνοιαν ἀποθρασυνθέντας ἐκβιάζεσθαι. Καὶ ὡς ἔπος εἰπεῖν, πάσης τοὺς τοῦ ἀνδρὸς ἀπηλλαγμένους πόνους ἀποφαίνει αἱρετικῆς τε ἐπιβουλῆς καὶ συκοφαντίας ἀφορώσης εἰς ἀσέβειαν. Ἡ δ' ἀπαλλαγὴ καὶ τῆς κακουργίας ὁ ἔλεγχος ἔκ τε τῶν προηγουμένων τοῦ κεκακουργημένου χωρίου καὶ τῶν ἑπομένων κατασκευάζεταί τε καὶ ἀνακαλύπτεται, καὶ ἐξ

ἄλλων δὲ τοῦ Θεσπεσίου Γρηγορίου μυρίων λόγων, τὸ ὀρθὸν διασωζόντων καὶ ἀνόθευτον. Καὶ ταῦτα καλῶς ἀγωνισάμενος, καὶ ὡς οὐκ ἄν τις ἄλλος ἄμεινον, εἰς σωτηρίους εὐχὰς καὶ δοξολογίας Θεοῦ ἀποπερατοῖ τὸ φιλοπόνημα. Οἱ δὲ λόγοι, οὓς ὑπελθεῖν ἐνέδραις τὸ ἀλλόφυλον ἐτεχνάσατο καὶ ὁ παρὰ τῆς ἀληθείας ταχθεὶς στρατηγὸς τῆς λῃστρικῆς ἐφόδου κακῶν ἀπαθεῖς διεσώσατο, ὅ τε περὶ ψυχῆς ἐξὶ πρὸς τὴν ἀδελφὴν Μακρῖναν διάλογος, καὶ δὴ καὶ ὁ κατηχητικὸς καὶ ὁ περὶ τελείου βίου τὴν εἰσήγησιν ἀναδεξάμενος *).

III.

Suidae ed. Gaisford. T. I. p. 846. sq. voc. *Γρηγόριος.*

Γρηγόριος, Νύσσης ἐπίσκοπος, ἀδελφὸς Βασιλείου τοῦ Καισάρεως, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος, καὶ πάσης ὑπάρχων παιδείας ἀνάπλεως· προσκείμενος δέ μᾶλλον τοῖς τῇ ῥητορικῇ χαίρουσι. Καὶ γοῦν εὐδόκιμος ἐν ταύτῃ γεγένηται καὶ λαμπρὸς, εἴ τις ἄλλος τῶν πάλαι ταύτῃ γεγενημένων. Οὗτος συνέταξε κατ᾽ Εὐνομίου λόγον ἐξαίρετον καὶ τεῦχος θαυμάσιον εἰς τὴν τοῦ ἀνθρώπου κατασκευήν· ἄλλας τε πυκνὰς καὶ συνεχεῖς ὁμιλίας. Εἴς τε τὰ ἅσματα τῶν ᾀσμάτων, καὶ εἰς τὸν ἐκκλησιαςὴν, καὶ πρὸς τῆν ἀδελφὴν Μακρίναν μακρόν τινα καὶ περικαλλῆ περὶ ψυχῆς συνέθηκε λόγον. Ἄλλα τε πολλὰ γεγραφήκει· καὶ τὸν πολυθαύμαςον ἔπαινον τοῦ πρώτου τῶν μαρτύρων Στεφάνου. Καὶ βίον δὲ συνέταξε Γρηγορίου τοῦ ἐν Θαύμασι διαλάμψαντος.

---

*) Aliter idque vere iudicat vir summus *Dionys. Petavius* theologicorum dogmatum Tom. III. p. 208. ed. Paris. a. 1644.: „Igitur Gregorio Germanus ita patrocinatur, ut pro certo et confesso habeat, illa, quae obiiciuntur e libris illius loca, qualia sunt ea, quae descripsi; Origenianum istud dogma complecti: neque de iis explicandis, aut quoquo modo conciliandis laborat, ut nonnulli hoc tempore pie magis, quam vere, aut etiam pudenter instituunt. Sed sola hunc exceptione defendit; nam libros eius ab Origenis fautoribus haereticis corruptos esse caussatur, iisque alienas istas insertas esse sententias. Verum non facile sibi hoc persuaderi sinet qui ad illa legenda iudicium et candorem adhibebit. Quippe tam stilus et dicendi character, quam reliqua consequens oratio germana et nativa illa esse demonstrat.“ Conf. quae de hac re nuper docte disputarunt V. V. Cll. *Steph. Petr. Heyns* de Gregorio Nyss. p. 171. seqq. et *Jul. Ruppius* in libro, qui inscribitur: *Gregor's, des Bischofs von Nyssa, Leben und Meinungen p.* 243. seqq.

IV.

Nicephori Callisti eccles. Hist. XI. 19.

Ἀδελφοὶ δὲ Βασιλείῳ ἦσαν, Γρηγόριος ὁ τῶν Νυσσαέων φωστὴρ, ἀνὴρ μετὰ τὸν ἀδελφὸν δεύτερος ἔν τε λόγοις καὶ τρόποις καὶ βίου σεμνότητι· καίπερ δ' οὗτος καὶ γυναικὶ ὁμιλήσας κατ' οὐδὲν τοῖς ἄλλοις τἀδελφοῦ λείπεται· ὃς Βασιλείου τεθνηκότος καὶ τὴν ἐκείνου ἑξαήμερον ἀνεπλήρου, καὶ κατ' Εὐνομίου καὶ Ἀπολλιναρίου ἀντιῤῥήσεις συνέταξε, καὶ ἐν Κωνσταντινουπόλει ἐπιτάφιον τῷ Θείῳ Μελετίῳ συγγράφει, καὶ ἄλλα πλεῖστα βιβλία διδασκαλίας καὶ δογμάτων ἀνάμεσα τῇ ἐκκλησίᾳ Θεοῦ καταλέλοιπε. Δείκνυσι δὲ καὶ τἄλλα μὲν τὸν ἄνδρα, μάλιστα δὲ ὃς ἐπονήθη αὐτῷ λόγος εἰς Γρηγόριον τὸν ἐν Θαύμασι περιβόητον. Ἦν δὲ τούτῳ καὶ ἀδελφὸς ἕτερος Πέτρος, ὃς τὸν μονήρη βίον μετὰ Βασιλείου ἐζήλωσεν, ὕστερον δὲ τὴν Σεβαστηνῶν ἴθυνε πόλιν· ἀλλὰ καὶ Ναυκράτιος ἕτερος ἐν ἀσκητικῇ πολιτείᾳ νέος τὸν βίον λιπὼν, καὶ Μακρίνα ἡ περιώνυμος, ᾗ καὶ τὸ περὶ ψυχῆς βιβλίον Γρηγόριος ἀνατίθησιν, ᾧ τινὲς τῶν αἱρετικῶν, ὡς ἐπυθόμην, Ὠριγένεια ὑπέσπειραν δόγματα. Πάντες δ' οὗτοι τῷ τῆς πολιτείας σεμνῷ τῆς ἁγιωσύνης κατηξιώθησαν, ὥσπερ δῆτα καὶ Γρηγορίου Καισάρειος καὶ ἡ Γοργονία.

Eiusdem ibid. XI. 44.

Ἐν δ' ἐπισκόποις (intell. κατ' ἐκεῖνο διέπρεπον τοῦ καιροῦ) Βασίλειός τε ὁ μέγας καὶ Γρηγόριοι ἄμφω, ὅ τε Θεολόγος καὶ ὁ τῶν Νυσσαίων φωστήρ· ὁ μὲν σύσκηνος καὶ σύμπνους ἐκείνῳ καὶ ἐφ' ἅπασι συνεργῶν, ὁ δ' ἀδελφὸς ὡς μάλιστα καθεξῆς. Συνήρχει δὲ αὐτοῖς καὶ Πέτρος ἀδελφὰ φρονῶν, τοῖς αὐτοῖς πατράσι χρησάμενος, οἷς καὶ Βασίλειος, καὶ παιδείας μὲν τῆς θύραθεν οὐκ εἰς τόσον ἦκων, ἐπ' ἴσης δ' ἐκείνοις τὰς τοῦ βίου μαρμαρυγὰς ἀφιείς. Οὗτοι μὲν ἐν Καππαδοκίᾳ διέλαμπον.

V.

Menaei Graecorum X. Januarii.

Οὗτος ἦν ἀδελφὸς τοῦ μεγάλου Βασιλείου, λαμπρὸς ἐν λόγοις καὶ τῆς ὀρθοδόξου πίστεως ζηλωτής. Διά τοι τοῦτο καὶ τῆς ἐκκλησίας Χριστοῦ προέξη καὶ μετὰ τῶν συγκροτούντων τὴν ἐν Κωνσταντινουπόλει δευτέραν σύνοδον κατὰ τῶν

δυσσεβῶν αἱρέσεων ἐνισαμένων ἐλθὼν ὑπέρμαχος εὑρέθη, τοὺς ἐναντίους λόγων δυνάμει καὶ γραφικαῖς ἀποδείξεσι τροπωσάμενος. Διὰ γὰρ πάσης ἐλθὼν ἰδέας λόγων, καὶ ἀρετῆς εὐδοκιμήσει τὸ κράτος ἐδέξατο, καὶ φθάσας ἐν γήρει καλῷ ἐκοιμήθη, καὶ πρὸς κύριον ἐξεδήμησεν. Ἦν δὲ κατὰ τὸν τοῦ σώματος τύπον κατὰ πάντα τῷ ἀδελφῷ Βασιλείῳ προσεοικὼς, πλὴν τοῦ πολιοῦ τε καί χαριεστάτου ἐπὶ βραχύ.

VI.

Menologii Graecorum ex edit. Annibalis Card. Albani Part. II. p. 92.

Τοῦ μεγάλου Βασιλείου ἐπισκόπου Καισαρείας τῆς Καππαδοκίας ἦν οὗτος ὁ ἅγιος Γρηγόριος ἀδελφὸς γνήσιος· ὑπῆρχε δὲ σοφὸς καὶ ἐνάρετος· ἐξ οὗ καὶ ἐγένετο εἰς Νύσσην ἐπίσκοπος. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον ἐγένοντο πολλοὶ αἱρετικοὶ, καὶ ἐπολέμουν τοὺς ὀρθοδόξους· ἀλλ' οὗτος ὁ ἅγιος ἄλλοτε διαλεγόμενος αὐτοῖς ἀπὸ τῶν ἁγίων γραφῶν, ἄλλοτε γράφων, πάντας ἐνίκησε, καὶ τὴν αἵρεσιν ἠφάνισεν. Εὑρεθεὶς δὲ καὶ εἰς τὴν ἐν Κωνσταντινουπόλει δευτέραν σύνοδον, οὕτως διὰ λόγου ἠνδραγάθησεν, ὡς ἐμφράξαι τῶν αἱρετικῶν τὰ στόματα· τοὺς δὲ ὀρθοδόξους χαρᾶς πλησῶσαι. Ἐξελθὼν δὲ εἰς τὴν ἐκκλησίαν αὐτοῦ (l. αὗτοῦ) καὶ τὸ ποίμνιον, καὶ καλῶς ἐκθρέψας αὐτὸ καὶ ποιμάνας, καὶ πολλὰς βίβλους θεοπνεύστους καὶ ψυχοφελεῖς συγγραψάμενος, ἐν τιμίᾳ πολιᾷ καὶ καλῷ γήρᾳ πρὸς κύριον ἐξεδήμησε χαίρων, καὶ ἀγαλλόμενος.

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΓΡΗΓΟΡΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

ΠΕΡΙ

ΨΥΧΗΣ ΚΑΙ ΑΝΑΣΤΑΣΕΩΣ

ΜΕΤΑ ΤΗΣ ΙΔΙΑΣ ΑΔΕΛΦΗΣ

ΜΑΚΡΙΝΗΣ

ΔΙΑΛΟΓΟΣ.

S. GREGORII

EPISCOPI NYSSENI

DE

ANIMA ET RESURRECTIONE

CUM SORORE SUA MACRINA

DIALOGUS.

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

ΠΕΡΙ

ΨΥΧΗΣ ΚΑΙ ΑΝΑΣΤΑΣΕΩΣ

ΜΕΤΑ ΤΗΣ ΙΔΙΑΣ ΑΔΕΛΦΗΣ ΜΑΚΡΙΝΗΣ

ΔΙΑΛΟΓΟΣ.

T. III. p. 181 B *) Ἐπειδὴ τοῦ ἀνθρωπίνου βίου πρὸς τὸν θεὸν μετέζη ὁ πολὺς ἐν ἁγίοις Βασίλειος, καὶ κοινὴ πένθους ἀφορμὴ ταῖς ἐκκλησίαις ἐγένετο, περιῆν δὲ ἔτι τῷ βίῳ ἡ ἀδελφὴ καὶ διδάσκαλος, ἐγὼ μὲν ἦειν κατὰ σπουδὴν, κοινωνήσων ἐκείνῃ τῆς ἐπὶ τῷ ἀδελφῷ συμφορᾶς· καί μοι περιώ- C δυνος ἦν ἡ ψυχὴ, πρὸς τοσαύτην ζημίαν ὑπεραλγοῦσα, καί τινα τῶν δακρύων κοινωνὸν ἐπεζήτουν, τὸ ἴσον ἔχοντά μοι τῆς λύπης ἄχθος. Ὡς δὲ ἐν ὀφθαλμοῖς ἦμεν ἀλλήλων, ἐμοὶ μὲν ἀνεκίνει τὸ πάθος προφανεῖσα τοῖς ὀφθαλμοῖς ἡ διδάσκαλος· καὶ γὰρ ἤδη καὶ αὐτὴ τῇ πρὸς θάνατον ἀῤῥωσίᾳ συνείχετο. Ἡ δὲ κατὰ τοὺς τῆς ἱππικῆς ἐπιστήμονας ἐνδοῦσά μοι πρὸς ὀλίγον παρενεχθῆναι τῇ ῥύμῃ τοῦ πάθους, ἀναζομοῦν ἐπεχείρει μετὰ ταῦτα τῷ λόγῳ, καθάπερ χαλινῷ τινὶ τῷ ἰδίῳ λογισμῷ τὸ ἀτα- D κτοῦν τῆς ψυχῆς ἀπευθύνουσα, καὶ ἦν αὐτῇ τὸ ἀποζολικὸν λόγιον προφερόμενον,

ΜΑΚΡ. τὸ μὴ δεῖν ἐπὶ τῶν κεκοιμημένων λυπεῖσθαι· μόνων γὰρ τοῦτο τῶν οὐκ ἐχόντων ἐλπίδα τὸ πάθος εἶναι. Κἀγὼ περιζεούσης ἔτι μοι τῆς καρδίας τῇ λύπῃ,

ΓΡΗΓ. πῶς ἔχειν, εἶπον, ἐν ἀνθρώποις τοῦτο κατορθωθῆναι, οὕτως ἐν ἑκάστῳ φυσικῆς τινὸς πρὸς τὸν θάνατον διαβολῆς ὑπαρχούσης, καὶ οὔτε τῶν ὁρώντων τοὺς ἀποθνήσκοντας εὐκόλως καταδεχομένων τὴν θέαν, οἵς τε ἂν προσίῃ ὁ θάνατος ἀποφευγόντων, ἐφ' ὅσον οἷόν τε;

---

*) Ed. Paris. a. 1638.

GREGORII NYSSENI

DE

ANIMA ET RESURRECTIONE

CUM SORORE SUA MACRINA

DIALOGUS.

Quum ex humana vita ad deum migrasset magnus ille inter sanctos Basilius, communisque causa luctus ecclesiis extitisset, et soror etiam atque magistra vitae esset superstes, ego quidem festinabam, communicaturus cum ea calamitatem, morte fratris acceptam: mihique dolore vehementissimo confectus erat animus, ut qui tantum detrimentum aegerrime ferret, et aliquem lacrimarum socium quaerebam, qui aegritudinis par onus sustineret. Ut autem alter alteri fulmus in conspectu, mihi quidem magistra visa animi dolorem refricuit. Etenim jam ipsa quoque infirma aegraque tenebatur valetudine, quae tendebat ad mortem. At illa, quemadmodum rei equestris periti facere solent, quum concessisset mihi, ut impetu doloris paulisper transversus agerer, postea oratione me reprimere conabatur, tanquam freno aliquo rationibus suis immoderatum animi affectum dirigens, prolatumque ab ea erat apostolicum illud dictum:

MACRINA. Tristitia non oportere affici propter illos, qui obdormiverint; solis enim iis, qui spem non haberent, id accidere solere. Atque ego, quum moerore adhuc cor mihi undique ferveret:

GREGORIUS. Quo pacto, inquam, inter homines hoc recte fieri potest, quum unicuique adeo naturalis quaedam mortis insita sit invidia, neque ii, qui vident morientes, spectare facile sustineant, iique, quibus mors imminet, quantum firie

182 ἀλλὰ καὶ τῶν ἐπικρατούντων νόμων ἔσχατον ἐν ἀδικίαις
A καὶ ἔσχατον ἐν τιμωρίαις τοῦτο κρινόντων, τίς μηχανὴ τὸ μηδὲν ἡγεῖσθαι τὴν τοῦ ζῆν ἀναχώρησιν καὶ ἐπὶ τῶν ἔξω τινὸς, μὴ ὅτι γε τῶν ἐπιτηδείων, ὅταν τοῦ βίου λήγωσιν; Ὁρῶμεν δὲ, εἶπον, καὶ πᾶσαν τὴν ἀνθρωπίνην σπουδὴν πρὸς τοῦτο βλέπουσαν, ὅπως ἂν ἐν τῷ ζῆν διαμένοιμεν. Διὰ τοῦτο γὰρ καὶ οἶκοι πρὸς διαγωγὴν ἡμῖν ἐπινενόηνται, ὡς ἂν μὴ τῷ περιέχοντι διὰ ψύξεως ἢ θερμότητος καταπονεῖτο τὰ σώματα. Γεηπονία δὲ τί ἄλλο καὶ οὐχὶ τοῦ ζῆν ἕξει παρασκευή; Ἡ δὲ τῆς ζωῆς φροντὶς πάντως
B διὰ τὸν τοῦ θανάτου γίνεται φόβον. Τί δὲ ἰατρικὴ; πόθεν τιμία τοῖς ἀνθρώποις ἐξίν; οὐκ, ἐπειδὴ μάχεσθαί πως διὰ τῆς τέχνης δοκεῖ πρὸς τὸν θάνατον; θώρακες δὲ, καὶ θυρεοὶ, καὶ κνημῖδες, καὶ κράνη, καὶ τὰ ἀμυντήρια τῶν ὅπλων, καὶ αἱ τῶν τειχῶν περιβολαὶ, καὶ σιδηρόδετοι πύλαι, καὶ ἡ τῶν τάφρων ἀσφάλεια, καὶ τὰ τοιαῦτα, τί ἄλλο, πλὴν διὰ τὸν τοῦ θανάτου γίνεται φόβον; Οὕτως οὖν ὄντος φοβεροῦ φυσικῶς τοῦ θανάτου, πῶς ἔξι ῥᾳδίως πεισθῆναι τῷ κελεύοντι ἄλυπον διαμένειν ἐπὶ τοῦ κατοιχομένου τὸν περιόντα;

ΜΑΚΡ. Τί δὲ, φησὶν ἡ διδάσκαλος, τί σοι μάλιστα
C λυπηρὸν αὐτὸ ἐφ' ἑαυτοῦ τὸ τοῦ θανάτου δοκεῖ; οὐ γὰρ ἱκανὸν εἰς διαβολὴν ἡ τῶν ἀλογωτέρων συνήθεια.

ΓΡΗΓ. Τί μὲν οὖν, οὐκ ἔξι λύπης ἄξιον, πρὸς αὐτὴν εἶπον ἐγὼ, ὅταν βλέπωμεν τὸν τέως ζῶντά τε καὶ φθεγγόμενον, ἄπνουν καὶ ἄναυδον καὶ ἀκίνητον ἀθρόως γενόμενον, καὶ πάντα αὐτῷ σβεσθέντα τὰ φυσικὰ αἰσθητήρια, οὐκ ὄψεως, οὐκ ἀκοῆς ἐνεργούσης, οὐκ ἄλλου τινὸς ὧν ἡ αἴσθησις τὴν ἀντίληψιν ἔχει; ᾧ κἂν πῦρ προσενέγκῃς, κἂν σίδηρον, κἂν ἀνατέμῃς διὰ ξίφους τὸ σῶμα, κἂν
D τοῖς σαρκοβόροις προθῇς, κἂν ἐγκρύψῃς χώματι, πρὸς ἅπαντα ὁμοίως ὁ κείμενος ἔχει. Ὅταν οὖν ἐν τούτοις βλέπηται ἡ μεταβολὴ, τὸ δὲ ζωτικὸν ἐκεῖνο αἴτιον, ὅ τί ποτε ἦν, ἀφανές τε καὶ ἄδηλον ἀθρόως γένηται, καθάπερ ἐπὶ
183 λύχνου σβεσθέντος, τῆς τέως ἐξαπτομένης αὐτοῦ φλογὸς οὔ-
A τε ἐπὶ τῆς θρυαλλίδος μενούσης, οὔτε ἑτέρωθί που

potest, eam refugiant? Quin etiam quum quae observantur leges extremum in maleficiis, et extremum in suppliciis hoc decernant, qua ratione fieri potest, ut secessum a vita pro nihilo ducamus vel in externo aliquo, nedum in necessariis, quando vivere desierint? Videmus autem, inquam, omne quoque humanum studium eo spectare, ut in vita permaneamus. Nam iccirco etiam domus ad inhabitandum nobis excogitatae sunt, ne ab aëre circumfuso per frigus vel aestum corpora conficerentur. Agricultura vero quid est aliud, quam vitae apparatus? Vitae autem cura omnino geritur metu mortis. Quid vero medicina? qui fit, ut in honore habeatur apud homines? an non, propterea quod pugnare quodammodo arte videtur adversus mortem? Loricae autem, clipei, ocreae, galeae, et quae ad nostram defensionem comparata sunt arma, murorumque ambitus, portae ferreae, fossarum munitiones, ceteraque hujusmodi, qua alia de causa fiunt, nisi metu mortis? Quum igitur mors naturaliter adeo terribilis sit, qui facile obtemperari potest ei, qui iubet, ut superstes de mortuo nulla unquam afficiatur tristitia?

MACR. Quid autem, inquit magistra, quid tibi mors ipsa per se maxime videtur acerba? Non enim sufficit ad criminandum consuetudo eorum, in quibus minus est rationis.

GREG. Quid vero, an non merito est dolendum, ad eam inquam ego, quum videmus eum, qui paulo ante vivebat et loquebatur, nec spirantem, nec loquentem, et immobilem repente factum, omniaque ei sensuum instrumenta exstincta, non oculis, non auribus, non alio quoquam eorum, quae sensus apprehendit, operante? cui sive ignem admoveris, sive ferrum, sive ense corpus dissecueris, sive carnivoris feris obieceris, sive in tumulo condideris, ad omnia similiter iacens se habet. Quum ergo in his videatur mutatio, vitaeque illa causa, quaecunque tandem esset, repente evanuerit atque delituerit, tanquam in lucerna exstincta, flamma, quae modo in ea accensa erat, neque in ellychnio manente, neque alio quopiam

μεθισαμένης, ἀλλ᾽ εἰς ἀφανισμὸν παντελῆ μεταχωρούσης, πῶς ἂν γένοιτο τὴν τοσαύτην μεταβολὴν ἐνεγκεῖν ἀλύπως μηδενὶ προδήλῳ ἐπερειθόμενον; Ἔξοδον γὰρ ψυχῆς ἀκούσαντες, τὸ μὲν ὑπολειφθὲν ὁρῶμεν, τὸ δὲ χωρισθὲν ἀγνοοῦμεν, αὐτό τε ὅ τί ποτε κατὰ τὴν φύσιν ἐστὶ, καὶ εἰς ὅ τι μετακεχώρηκεν, οὐ γῆς, οὐκ ἀέρος, οὐχ ὕδατος, οὐκ ἄλλου τινὸς τῶν στοιχείων ἐν ἑαυτῷ δεικνύντος ἐκείνην τὴν
B δύναμιν τὴν τοῦ σώματος ἐκχωρήσασαν· ἧς ὑπεξελθούσης νεκρὸν ἐστι τὸ ὑπολειφθὲν καὶ πρὸς διαφθορὰν ἤδη ἐκκείμενον. Ταῦτα δέ μου διεξιόντος μεταξὺ κατασείσασα τῇ χειρὶ ἡ διδάσκαλος·

ΜΑΚΡ. μή τίς σε τοιοῦτος, φησὶ, φόβος ὑποταράσσει καὶ συνέχει τὴν διάνοιαν, ὡς οὐ διαμενούσης εἰς ἀεὶ τῆς ψυχῆς, ἀλλὰ συγκαταληγούσης τῇ διαλύσει τοῦ σώματος;

ΓΡΗΓ. Ἐγὼ δέ· καὶ γὰρ οὔπω τοῦ πάθους τὸν
C λογισμὸν ἀνελεξάμην· θρασύτερόν πως ἀπεκρινάμην, οὐ πάνυ περισκεψάμενος τὸ λεγόμενον· εἶπον γὰρ ἐπιτάγμασιν ἐοικέναι τὰς θείας φωνὰς, δι᾽ ὧν τὸ μὲν δεῖν πεπεῖσθαι τὴν ψυχὴν εἰς ἀεὶ διαμένειν ἀναγκαζόμεθα· οὐ μὲν λόγῳ τινὶ τῷ τοιούτῳ προσήχθημεν δόγματι, ἀλλ᾽ ἔοικεν ἡμῖν δουλικῶς ἔνδοθεν ὁ νοῦς φόβῳ τὸ κελευόμενον δέχεσθαι, οὐχ ἑκουσίᾳ τινὶ ὁρμῇ τοῖς λεγομένοις συντίθεσθαι. Ὅθεν καὶ βαρυτέραι ἡμῖν ἐπὶ τῶν κατοιχομένων αἱ λῦπαι γίνονται, οὐκ ἀκριβῶς ἐπισταμένων ἡμῶν, εἴτ᾽ ἔτι ἔστι καθ᾽ ἑαυτὸ τοῦτο τὸ ζωοποιὸν
D αἴτιον, καὶ ὅπη, καὶ ὅπως, εἴτε οὐκ ἔστιν οὐδαμῇ οὐδαμῶς. Ἴσας γὰρ ποιεῖ τοῦ ἀληθῶς ὄντος ἀδηλία τὰς ἐφ᾽ ἑκάτερον ὑπολήψεις. Καὶ πολλοῖς μὲν τοῦτο, πολλοῖς δὲ τὸ ἐναντίον δοκεῖ. Καί εἰσί γέ τινες παρὰ τοῖς Ἕλλησιν οὐ μικρὰν ἔχοντες ἐπὶ φιλοσοφίᾳ τὴν δόξαν, οἳ ταῦτα ᾠήθησάν τε καὶ ἀπεφήναντο.

ΜΑΚΡ. Ἔα, φησὶ, τοὺς ἔξωθεν λήρους, ἐν οἷς ὁ τοῦ ψεύδους εὑρετὴς ἐπὶ βλάβῃ τῆς ἀληθείας πιθανῶς τὰς ἠπατημένας ὑπολήψεις συντίθησιν· σὺ δὲ πρὸς τοῦτο βλέπε, ὅτι τὸ οὕτως περὶ ψυχῆς ἔχειν οὐδὲν ἄλλο

transeunte, sed plane evanescente, qui fieri possit, ut tantam mutationem sine dolore ferat qui nulla re evidente innititur? Exitu enim animae audito, quod quidem relictum est, videmus; quod autem separatum est, ignoramus, et ipsum quid tandem sit secundum naturam, et in quidnam transierit, non terra, non aëre, non aqua, non alio quopiam elemento in se ostendente vim illam, quae corpore excessit: qua subducta, quod relinquitur, mortuum est, corruptionique iam expositum. Haec quum ego dicerem, manu interim silentio imperato, magistra:

MACR. Num quis eiusmodi, inquit, metus te perturbat, et mentem tuam angit, quasi non semper maneat anima, sed una cum dissolutione corporis esse desinat?

GREG. Ego vero (nondum enim ab aegritudine rationem collegeram) audacius quodammodo respondi, id, quod dicebatur, non admodum considerans: dixi enim divinas voces iussis esse similes, quibus credere quidem cogamur, animam oportere in perpetuum permanere; non tamen ratione aliqua ad hanc sententiam adducti sumus, sed patet mentem nobis intus serviliter metu, quod iubeatur, probare; non voluntario quodam motu iis, quae dicantur, assentiri. Unde etiam fit, ut gravius mortuorum nomine doleamus, quum nos plane nesciamus, sitne adhuc per se haec vivifica causa, et ubi et quomodo, an vero nusquam sit omnino. Nam eius, quod revera est, incertitudo pares in utramque partem efficit opiniones. Et multis quidem hoc, multis vero contrarium videtur: et sunt sane quidam Graecorum non parvam in philosophia gloriam consequuti, qui haec et opinati sunt et pronuntiarunt.

MACR. Mitte, inquit, externas nugas, in quibus inventor mendacii in detrimentum veritatis falsas opiniones probabiliter componit; tu vero huc respice, quod ita de anima sentire nihil est aliud, quam alienum esse a virtute, et

184 ἐχὶν, ἢ ἀλλοτρίως πρὸς τὴν ἀρετὴν ἔχειν, καὶ πρὸς
A τὸ παρὸν ἡδὺ μόνον βλέπειν· τὴν δὲ τοῖς αἰῶσιν ἐνθεωρουμένην ζωὴν ἀπ᾽ ἐλπίδος ποεῖσθαι καθ᾽ ἣν μόνη ἡ ἀρετὴ τὸ πλεῖον ἔχει.

ΓΡΗΓ. Καὶ πῶς, ἔφην, γένοιτ᾽ ἂν ἡμῖν παγία τις καὶ ἀμετάθετος ἡ περὶ τοῦ διαμένειν τὴν ψυχὴν δόξα; Αἰσθάνομαι γὰρ καὶ αὐτὸς, ὅτι τοῦ καλλίστου τῶν κατὰ τὴν ζωὴν, τῆς ἀρετῆς, λέγω, ὁ τῶν ἀνθρώπων χηρεύσει βίος, εἰ μή τις ἀναμφίβολος ἡ περὶ τούτου πίστις ἐν
B ἡμῖν κρατυνθείη. Πῶς γὰρ ἔστι τὴν ἀρετὴν χώραν ἔχειν ἐφ᾽ ᾧν ἡ παροῦσα ζωὴ περιγραφὴ τοῦ εἶναι ὑπείληπται, καὶ πλέον ἐλπίζεται μετὰ ταύτην οὐδέν;

ΜΑΚΡ. Οὐκοῦν ζητῆσαι χρὴ, φησὶν ἡ διδάσκαλος, ὅθεν ἂν ἡμῖν τὴν δέουσαν περὶ τούτων ἀρχὴν ὁ λόγος λάβῃ, καὶ, εἰ δοκεῖ, παρὰ σοῦ γενέσθω τῶν ἐναντίων δογμάτων ἡ συμμαχία· ὁρῶ γὰρ ὅτι σοι καὶ ὑποκεκίνηται πρὸς τὴν τοιαύτην καταφορὰν ἡ διάνοια. Εἶθ᾽ οὕτως ὁ τῆς ἀληθείας μετὰ τὴν ἀντίθεσιν ἀναζητηθήσεται λόγος.

ΓΡΗΓ. Ἐπεὶ δὲ τοῦτο ἐκέλευσεν, παραιτησάμενος αὐτὴν μὴ κατ᾽ ἀλήθειαν οἰηθῆναι τὰ παρ᾽ ἡμῶν ἀντιλέγεσθαι, ἀλλ᾽ ὑπὲρ τοῦ βεβαίως κατασκευασθῆναι τὸ περὶ τῆς ψυχῆς δόγμα τῶν ἀντιπιπτόντων πρὸς τὸν σκο-
C πὸν τοῦτον ὑπεκλυθέντων· Ἦ που, ἔφην, ταῦτα ἂν εἴποιεν οἱ τῷ ἐναντίῳ παριζάμενοι λόγῳ, ὅτι τὸ σῶμα σύνθετον ὂν πάντως εἰς τὰ, ἐξ ὧν συνέσηκε, διαλύεται. Λυθείσης δὲ τῶν στοιχείων τῆς ἐν τῷ σώματι συμφυΐας ἐπὶ τὸ οἰκεῖον ἑκάστῳ γίνεται κατὰ τὸ εἰκὸς ἡ ῥοπὴ, αὐτῆς φύσεως τῶν στοιχείων δι᾽ ὁλκῆς τινὸς ἀναγκαίας τῇ ὁμογενεῖ τὸ οἰκεῖον ἀποδιδούσης. Τῷ τε γὰρ θερμῷ πάλιν τὸ ἐν ἡμῖν θερμὸν ἑνωθήσεται, καὶ τῷ ψυχρῷ τὸ γεῶδες, καὶ τῶν λοιπῶν ἑκάστῳ πρὸς τὸ συγγενὲς ἡ μεταχώρησις γίνεται. Ἦ οὖν ψυχὴ μετὰ τοῦτο ποῦ
D ἔσται; εἰ μὲν γὰρ ἐν τοῖς στοιχείοις εἶναί τις λέγοι, τὴν αὐτὴν εἶναι τούτοις κατ᾽ ἀνάγκην συνθήσεται. Οὐ γὰρ ἂν γένοιτό τις τοῦ ἑτεροφυοῦς πρὸς τὸ ἀλλότριον μί-

ad praesentem solum spectare voluptatem; quae autem in saeculis consideratur, vitae spem abiicere, per quam sola virtus superior est.

GREG. Et quo pacto, inquam, nobis esse possit firma quaedam et stabilis opinio, qua animam credamus permanere? Nam et ipse sentio, fore, ut re omnium, quae sunt in vita, pulcherrima, virtute, inquam, vita hominum careat, nisi aliqua certa de hac re fides in nobis firmata fuerit. Qui enim fieri potest, ut virtus in iis locum habeat, qui id, quod est, praesenti vita circumscribi existimant, et post eam nihil amplius sperant?

MACR. Ergo quaerere oportet, inquit magistra, unde nobis conveniens de iis initium sumpserit oratio, et, si videtur, a te suscipiatur contrariorum dogmatum defensio; video enim etiam animum tuum commotum atque gestientem, has tibi deferri partes. Deinde sic adductis contrariis ratio veritatis requiretur.

GREG. Postquam autem ita facere iussit, deprecatus ab ea, ne, quae a nobis contradicerentur, putaret serio contradici, sed iccirco proferri, ut doctrina de anima firmiter constitueretur, si, quae ad hoc propositum opponuntur, soluta fuerint: Haec profecto, inquam, dixerint, qui contrariam defendunt opinionem, corpus, quum compositum sit, ex quibus constat, in ea omnino dissolvi. Soluta autem ea, quae in corpore est, elementorum concretione, unumquodque, ut par est, ad proprium vergit, ipsa elementorum natura per attractionem quandam necessariam ei, quod est eiusdem generis, suum reddente. Nam et cum calido rursus unietur id, quod in nobis est calidum, et cum solido terrenum: atque ex reliquis unumquodque ad cognatum transit. Anima ergo postmodum ubi erit? Nam si quidem aliquis dicat eam in elementis esse, eandem illam esse cum his necessario concedet. Non enim aliqua cum alieno mixtio fieri possit eius, quod est diversae naturae, et si haec ita sint,

ξις, καὶ, εἰ ταῦτα εἴη, ποικίλη τις πάντως ἀναφανήσεται
185 ἡ πρὸς τὰς ἐναντίας μεμιγμένη ποιότητας. Τὸ δὲ ποι-
A κίλον ἁπλοῦν οὐκ ἔστιν, ἀλλ' ἐν συνθέσει θεωρεῖται πάν-
τως. Πᾶν δὲ τὸ σύνθετον καὶ διαλυτὸν ἐξ ἀνάγκης.
Ἡ δὲ διάλυσις φθορὰ τοῦ συνεχῶτός ἐστι. Τὸ δέ γε
φθειρόμενον οὐκ ἀθάνατον· ἢ οὕτως γε ἂν καὶ ἡ σὰρξ
ἀθάνατος λέγοιτο, εἰς τὰ, ἐξ ὧν συνέστηκεν, λυομένη.
Εἰ δὲ ἄλλο τί που παρὰ ταῦτα ἔστι, ποῦ λόγος αὐτὴν εἶ-
ναι ὑποτίθεται, ἐν μὲν τοῖς στοιχείοις διὰ τὸ ἑτεροφυ-
ῶς ἔχειν οὐχ εὑρισκομένην, ἄλλου δὲ οὐδενὸς ὄντος ἐν
τῷ κόσμῳ, ἐν ᾧ γένοιτ' ἂν ἡ ψυχὴ, καταλλήλως τῇ
B ἰδίᾳ φύσει ἐμβιοτεύουσα; Ὃ δὲ μηδαμοῦ ἔστιν, οὐδὲ ἔστι
πάντως.

ΜΑΚΡ. Καὶ ἡ διδάσκαλος, ἠρέμα τοῖς ῥηθεῖσιν
ἐπισενάξασα· Τάχα που ταῦτα καὶ τὰ τοιαῦτα, φησὶ,
πρὸς τὸν ἀπόστολον ἐν Ἀθήναις ποτὲ συστάντες προέφερον
οἱ Στωϊκοί τε καὶ Ἐπικούρειοι. Καὶ γὰρ ἀκούω πρὸς τοῦτο
μάλιστα τὸν Ἐπίκουρον ταῖς ὑπολήψεσι φέρεσθαι, ὡς τυχαία
τις καὶ αὐτόματος ἡ τῶν ὄντων ἐπενοήθη φύσις, ὡς οὐδεμιᾶς
προνοίας διὰ τῶν πραγμάτων διηκούσης. Καὶ διὰ τοῦτο
κατὰ τὸ ἀκόλουθον καὶ τὴν ἀνθρωπίνην ζωὴν πομφόλυγος
δίκην ᾠήθη, πνεύματί τινι τοῦ σώματος ἡμῶν περιταθέν-
C τος, ἕως ἂν περικρατῆται τὸ πνεῦμα τῷ περιέχοντι·
τῇ δὲ διαπτώσει τοῦ ὄγκου καὶ τὸ ἐναπειλημμένον συγ-
κατασβέννυσθαι. Ὅρος γὰρ τούτῳ τῆς τῶν ὄντων φύ-
σεως τὸ φαινόμενον ἦν, καὶ μέτρον τῆς τοῦ παντὸς κα-
ταλήψεως ἐποιεῖτο τὴν αἴσθησιν, μεμυκὼς παντάπασι
τὰ τῆς ψυχῆς αἰσθητήρια, καὶ πρὸς οὐδὲν τῶν νοητῶν
τε καὶ ἀσωμάτων βλέπειν οἷός τε ὤν, ὥσπερ ὁ οἰκίσκῳ
τινὶ καθειργμένος τῶν οὐρανίων θαυμάτων ἀθέατος μέ-
νει, τοῖς τοίχοις καὶ τῷ ὀρόφῳ πρὸς τὴν τῶν ἔξωθεν
θέαν ἐμποδιζόμενος· ἀτεχνῶς γὰρ γῄϊνοί τινές εἰσι τοῖ-
D χοι τὰ αἰσθητὰ πάντα, ὅσα ἐν τῷ παντὶ καθορᾶται, πρὸς
τὴν τῶν νοητῶν θεωρίαν δι' ἑαυτῶν τοὺς μικροψυχοτέ-
ρους διατειχίζοντες. Γῆν ὁ τοιοῦτος βλέπει μόνον, καὶ
ὕδωρ, καὶ ἀέρα, καὶ πῦρ· ὅθεν δὲ τούτων ἕκαστον, ἢ ἐν τί-

eam variam quandam prorsus esse comparebit, ut quae cum contrariis mixta sit qualitatibus. Quod autem varium est, simplex non est, sed in compositione prorsus consideratur. Quicquid autem est compositum, dissolubile quoque sit necesse est. At dissolutio corruptio est eius, quod compositum est. Quod autem corrumpitur, non est immortale: nam alioquin caro quoque immortalis diceretur, ut quae solvatur in ea, ex quibus constat. Sin autem aliquid ab his diversum est alicubi, ubinam ratio eam esse ponit, quum in elementis quidem, propterea quod diversae naturae est, non inveniatur, aliud autem nihil sit in mundo, in quo possit esse anima, suae naturae convenienter vivens? Quod autem nusquam est, ne prorsus quidem est.

MACR. Et magistra, ubi paululum dictis ingemuerat: Haec fortassis et talia, inquit, adversus apostolum Athenis olim coëuntes Stoici et Epicurei proferebant. Etenim audio ad hoc maxime Epicurum opinionibus ferri, quod casu et concursu quodam fortuito factam esse rerum naturam statuit, quasi nulla providentia per res permeante. Et iccirco convenienter humanam quoque vitam bullae instar esse putabat, spiritu quodam corpore nostro inflato, quamdiu spiritus aëre circumfuso cohibeatur: quum autem tumor ille conciderit, simul id, quod intus sit interceptum, exstingui. Terminus enim rerum naturae illi erat id, quod apparet et modulum comprehendendae rerum universitatis sensum esse statuebat, quum obstructis penitus animae sensibus nihil eorum, quae mente percipiuntur et incorporea sunt, intueri posset, quemadmodum qui domuncula quadam coërcitus spectaculi caelestium miraculorum expers manet, parietibus tectoque externa contemplari prohibitus; re vera enim terreni quidam parietes sunt quaecunque in rerum universitate, sub sensum cadentia cernuntur, ab iis, quae intelligentia percipiuntur, contemplandis per sese eos, qui pusillo sunt animo, discludentes. Terram qui talis est solum adspicit, et aquam, et aërem et ignem; unde autem horum unumquodque, aut in

νι ἐχὶν, ἢ ὑπὸ τίνος περικρατεῖται, διϊδεῖν ὑπὸ μικρο-
186 ψυχίας οὐ δύναται. Καὶ ἱμάτιον μέν τις ἰδὼν τὸν ἰ-
A φάντην ἀνελογίσατο, καὶ διὰ τῆς νηὸς τὸν ναυπηγὸν ἐνε-
νόησεν, ἥ τε αὖ τοῦ οἰκοδόμου χεὶρ ὁμοῦ τῇ τοῦ οἰκο-
δομήματος ὄψει τῇ διανοίᾳ τῶν θεωμένων ἐγγίνεται.
Οἱ δὲ πρὸς τὸν κόσμον ὁρῶντες πρὸς τὸν διὰ τούτων δη-
λούμενον ἀμβλυωποῦσιν. Ὅθεν τὰ σοφὰ ταῦτα καὶ δρι-
μέα παρὰ τῶν τὸν ἀφανισμὸν τῆς ψυχῆς δογματιζόντων
προφέρεται, σῶμα ἐκ στοιχείων καὶ στοιχεῖα ἐκ σώματος·
καὶ τὸ μὴ δύνασθαι τὴν ψυχὴν καθ' ἑαυτὴν εἶναι, εἰ μήτε
τούτων τι εἴη, μήτε ἐν τούτοις. Εἰ γὰρ, ὅτι μὴ ὁμοφυὴς
τοῖς στοιχείοις ἐστὶν ἡ ψυχὴ, διὰ τοῦτο οὐδαμοῦ εἶναι
αὐτὴν οἱ ἀντιλέγοντες οἴονται, οὗτοι πρῶτον μὲν καὶ τὴν
B ἐν σαρκὶ ζωὴν ἄψυχον εἶναι δογματιζέτωσαν· οὐ γὰρ ἄλλο
τι τὸ σῶμά ἐστιν, εἰ μὴ συνδρομὴ τῶν στοιχείων· μὴ τοί-
νυν μηδ' ἐν τούτοις τὴν ψυχὴν εἶναι λεγέτωσαν, διὶ ἑαυ-
τῆς ζωοποιοῦσαν τὸ σύγκριμα, εἴπερ οὐκ ἔστι μετὰ ταῦτα
δυνατὸν, καθὼς οἴονται, τῶν στοιχείων ὄντων καὶ τὴν ψυ-
χὴν εἶναι, ὡς μηδὲν ἄλλο, ἢ νεκρὰν τὴν ζωὴν ἡμῶν παρ'
αὐτῶν ἀποδείκνυσθαι. Εἰ δὲ νῦν ἐν τῷ σώματι τὴν ψυ-
χὴν εἶναι οὐκ ἀμφιβάλλουσιν, πῶς διαλυθέντος τοῦ σώμα-
τος εἰς τὰ στοιχεῖα τὸν ἀφανισμὸν αὐτῆς δογματίζουσιν;
C Ἔπειτα δὲ καὶ κατ' αὐτῆς τῆς θείας φύσεως τὰ ἴσα τολ-
μάτωσαν. Πῶς γὰρ ἐροῦσι τὴν νοεράν τε καὶ ἄϋλον καὶ ἀει-
δῆ φύσιν εἰς τὰ ὑγρά τε καὶ μαλακὰ, καὶ θερμὰ καὶ στε-
ρέμνια διαδυομένην ἐν τῷ εἶναι συνέχειν τὰ ὄντα, οὔτε
συγγενῶς ἔχουσαν πρὸς τὰ, ἐν οἷς γίνεται, οὔτε διὰ τὸ
ἑτερογενὲς ἐν αὐτοῖς εἶναι ἀδυνατοῦσαν; Οὐκοῦν ἐξηρή-
σθω καθ' ὅλου τοῦ δόγματος αὐτῶς καὶ αὐτὸ τὸ θεῖον, ᾧ
διακρατεῖται τὰ ὄντα.

ΓΡΗΓ. Αὐτὸ δὴ τοῦτο, εἶπον ἐγὼ, πῶς ἂν τοῖς ἀν-
τιλέγουσιν ἀναμφίβολον γένοιτο, τὸ ἐκ θεοῦ εἶναι τὰ
D πάντα καὶ ἐν αὐτῷ περικρατεῖσθαι τὰ ὄντα, ἢ καὶ ὅλως
τὸ εἶναί τι θεῖον, τῆς τῶν ὄντων ὑπερκείμενον φύσεως;

ΜΑΚΡ. Ἡ δὲ· Σιωπᾷν μὲν ἦν, φησὶν, ἐπὶ τοῖς τοι-
ούτοις ἁρμοδιώτερον, μηδὲ ἀξιοῦν ἀποκρίσεως τὰς μωράς

quo sit, aut in quo contineatur, ob pusillum animum perspicere non potest. Et visa quidem veste textorem animo cogitat quispiam, et per navem intelligit navis fabricatorem, itemque aedificio conspecto manus aedificatoris spectantium menti observatur. Isti vero, dum mundum intuentur, ad eum, qui per ea declaratur, caecutiunt. Unde fit, ut scita haec et acuta ab iis, qui interitum animae decretis suis tradunt, proferantur, corpus nimirum ex elementis, et elementa ex corpore esse, et per se animam esse non posse, si neque horum sit aliquid, neque in his. Nam si, propterea quod anima non sit eiusdem cum elementis naturae, ideo nusquam eam esse adversarii opinantur, hi primum quidem etiam, quae in carne degitur, vitam inanimam esse tradant: non enim aliud quicquam corpus est, atque concursus elementorum; ergo nec in his quidem animam esse dicant, quae per se vivificet, quod concretum est, si quidem posthac fieri non potest, quemadmodum opinantur, ut manentibus elementis etiam anima sit, quo efficiatur, ut nihil aliud, quam mortuam esse vitam nostram demonstrent. Sin autem nunc in corpore animam esse non dubitant, quo pacto, corpore in elementa dissoluto, animam exstingui censent? Deinde in ipsam quoque divinam naturam eadem audeant! Quo pacto enim dicent intelligentem, materiaeque ac formae expertem naturam, humida et mollia, calidaque et solida pervadentem, ea, quae sunt, in essentia continere, quum neque cum iis, in quibus versatur, ullam cognationem habeat, neque in iis esse possit, quum sit diversi generis? Eximatur ergo penitus ex eorum doctrina ipse quoque deus, quo quae sunt continentur.

GREG. Hoc ipsum nimirum, inquam ego, quomodo iis, qui contradicunt, minime dubium fuerit, ex deo esse omnia, et quae sint, in eo contineri, aut omnino quoque esse aliquod numen, quod superet rerum naturam?

MACR. At illa: De rebus, inquit, eiusmodi tacere esset convenientius, neque responso dignas putare stultas illas

τε καὶ ἀσεβεῖς τῶν προτάσεων, ἐπεὶ καί τις τῶν θείων
187 ἀπαγορεύει λόγος, μὴ ἀποκρίνεσθαι ἄφρονι κατὰ τὴν ἀ-
A φροσύνην αὐτοῦ. Ἄφρων δὲ πάντως ἐξὶ κατὰ τὸν προφήτην ὁ μὴ εἶναι λέγων θεόν. Ἐπεὶ δὲ χρὴ καὶ τοῦτο εἰπεῖν, ἐρῶ σοὶ, φησὶ, λόγον, ἐμὸν μὲν οὐχὶ, οὐδ' ἄλλου τινὸς ἀνθρώπου· μικρὸς γὰρ οὗτος ὅσος δ' ἂν ᾖ· ἀλλ' αὐτὸν, ὃν ἡ κτίσις τῶν ὄντων διὰ τῶν ἐν αὐτῇ θαυμάτων διέξεισιν, ἧς ἀκροατὴς ὁ ὀφθαλμὸς γίνεται, διά τῶν φαινομένων ἐνηχοῦντος τῇ καρδίᾳ τοῦ σοφοῦ τε καὶ τεχνικοῦ λόγου. Βοᾷ γὰρ ἀντικρυς τὸν ποιητὴν ἡ κτίσις, αὐτῶν
B τῶν οὐρανῶν, καθώς φησιν ὁ προφήτης, ταῖς ἀλαλήτοις φωναῖς τὴν δόξαν τοῦ θεοῦ διηγουμένων. Τίς γὰρ βλέπων τὴν τοῦ παντὸς ἁρμονίαν, τῶν τε οὐρανίων καὶ τῶν κατὰ γῆν θαυμάτων, καὶ ὡς ἐναντίως ἔχοντα πρὸς ἄλληλα τὰ στοιχεῖα κατὰ τὴν φύσιν πρὸς τὸν αὐτὸν τὰ πάντα σκόπον διά τινος ἀῤῥήτου κοινωνίας συμπλέκεται, τὴν παρ' ἑαυτοῦ δύναμιν ἕκαστον πρὸς τὴν τοῦ παντὸς διαμονὴν συνεισφέροντα, καὶ οὔτε τὰ ἄμικτά τε καὶ ἀκοινώνητα κατὰ τὴν ἰδιότητα τῶν ποιοτήτων διαχωρεῖ ἀπ' ἀλλήλων,
C οὔτε ἐν ἀλλήλοις φθείρεται, κατακιρνάμενα πρὸς ἄλληλα ταῖς ἐναντίαις ποιοτήσεσιν· ἀλλὰ καὶ οἷς ἀνωφερὴς ἐξιν ἡ φύσις, ἐπὶ τὰ κάτω φέρεται, τῆς ἡλιακῆς θερμότητος διὰ τῶν ἀκτίνων καταῤῥεούσης· τά τε ἐμβριθῆ τῶν σωμάτων ἀνακουφίζεται, διὰ τῶν ἀτμῶν λεπτυνόμενα, ὡς καὶ τὸ ὕδωρ παρὰ τὴν ἑαυτοῦ φύσιν ἀνωφερὲς γίνεσθαι, δι' ἀέρος ἐπὶ πνευμάτων ὀχούμενον· καὶ τὸ αἰθέριον πῦρ πρόςγειον γίνεσθαι, ὡς καὶ τὸ βάθος μὴ ἀμοιρεῖν τῆς θερμότητος, ἐπιχεομένην δὲ τῇ γῇ ἐκ τῶν ὄμβρων ἐκμάδα,
D μίαν οὖσαν τῇ φύσει, μυρίας γεννᾷν βλαστημάτων διαφορὰς, πᾶσι καταλλήλως τοῖς ὑποκειμένοις ἐμφυομένην· τήν τε ὀξυτάτην τοῦ πόλου περιφορὰν, καὶ τῶν ἐντὸς κύκλων τὴν ἐπὶ τὸ ἔμπαλιν κίνησιν, τάς τε ὑποδρομὰς καὶ τὰς συνόδους, καὶ τὰς ἐναρμονίους ἀποςάσεις τῶν ἄστρων· ὁ ταῦτα βλέπων τῷ διανοητικῷ τῆς ψυχῆς ὀφθαλμῷ ἆρ'
188 οὐχὶ φανερῶς ἐκ τῶν φαινομένων διδάσκεται, ὅτι θεία δύ-
A ναμις, ἔντεχνός τε καὶ σοφὴ τοῖς οὖσιν ἐμφαινομένη καὶ

atque impias propositiones: quippe divinum etiam quoddam dictum vetat respondere insipienti secundum suam insipientiam. Stultus autem, ut ait propheta, omnino est is, qui deum esse negat. Quoniam autem hoc quoque dicendum est, dicam tibi, inquit, sermonem non meum, nec cuiusquam alius hominis (exiguus enim hic, quantuscunque sit), sed illum, quem creatura rerum per ea, quae in ipsa sunt, miracula, enarrat, cuius auditor est oculus, sermone sapiente artificeque per ea, quae cernuntur, resonante in corde. Clamat enim aperte opificem creatura, ipsis caelis, ut ait propheta, vocibus ineffabilibus dei gloriam enarrantibus. Quis enim intuens universitatis concentum, tam caelestium, quam terrestrium miraculorum, et quemadmodum elementa natura inter se contraria ad eumdem omnia scopum per quandam ineffabilem societatem connectantur, suam unumquodque facultatem ad hoc, ut universitas permaneat, conferentia, et neque immixta nullaque societate coniuncta per qualitatum proprietatem a se invicem seiungantur, neque in se invicem intereant, confusa inter se contrariis qualitatibus; sed et illa, quibus est natura sursum ferens, deorsum vergant, solis calore per radios defluente, graviaque corpora subleventur, per vapores extenuata, ut et aqua praeter suam naturam sursum feratur, per aërem flatibus vecta, et aethereus ignis ad terram deferatur, ut et infimae partes caloris expertes non sint, terraeque superfusus imbrium humor, quum unus natura sit, innumerabiles germinum gignat differentias, subiectis omnibus convenienter inditus: et celerrimam poli conversionem, interiorumque circulorum in contrarium motionem, astrorumque cursus et coitus, et concinnas abscessiones: haec si quis mentis oculo intueatur, an non aperte docetur per ea, quae cernuntur, divina virtute, artificiosa sapienteque in rebus apparente, omniaque permeante, et partes toti accommodari et

διὰ πάντων ἥκουσα, τά τε μέρη συναρμόζει τῷ ὅλῳ καὶ τὸ ὅλον συμπληροῖ ἐν τοῖς μέρεσι, καὶ μιᾷ τινὶ περικρατεῖται δυνάμει τὸ πᾶν, αὐτὸ ἐν ἑαυτῷ μένον καὶ περὶ ἑαυτὸ κινούμενον, καὶ οὔτε λῆγόν ποτε τῆς κινήσεως, οὔτε εἰς ἄλλον τινὰ τόπον παρὰ τὸν ἐν ᾧ ἔξι μεθιςάμενον;

ΓΡΗΓ. Καὶ πῶς, εἶπον, ἡ περὶ τὸ εἶναι τὸν θεὸν πίςις καὶ τὴν ψυχὴν εἶναι τὴν ἀνθρωπίνην συναποδείκνυσιν; Οὐ γὰρ δὴ ταὐτόν ἐςι τῷ θεῷ ἡ ψυχὴ, ὥςε, εἰ τὶ
B ἓν ὁμολογοῖτο εἶναι, συνομολογεῖσθαι πάντως καὶ τὸ λειπόμενον.

ΜΑΚΡ. Ἡ δέ· Λέγεται, φησὶ, παρὰ τῶν σοφῶν μικρός τις εἶναι κόσμος ὁ ἄνθρωπος, ταῦτα περιέχων ἐν ἑαυτῷ τὰ ςοιχεῖα, οἷς τὸ πᾶν συμπεπλήρωται. Εἰ δὲ ἀληθὴς οὗτος ὁ λόγος, ἔοικε δὲ, τάχα οὐκ ἂν ἑτέρας δεηθείημεν συμμαχίας εἰς τὸ βεβαιωθῆναι ἡμῖν ὃ περὶ ψυχῆς ὑπειλήφαμεν. Ὑπειλήφαμεν δὲ τὸ εἶναι αὐτὴν καθ' ἑαυτὴν ἐν ἐξηλλαγμένῃ τε καὶ ἰδιαζούσῃ φύσει παρὰ τὴν σωματικὴν παχυμέρειαν. Ὡς γὰρ, πάντα τὸν κόσμον διὰ τῆς αἰσθητικῆς ἀντιλήψεως ἐπιγινώσκοντες, δι' αὐτῆς τῆς
C κατὰ τὴν αἴσθησιν ἡμῶν ἐνεργείας εἰς τὴν τοῦ ὑπὲρ αἴσθησιν πράγματός τε καὶ νοήματος ἔννοιαν ὁδηγούμεθα, καὶ γίνεται ἡμῖν ὁ ὀφθαλμὸς ἑρμηνεὺς τῆς παντοδυνάμου σοφίας, τῆς τῷ παντὶ μὲν ἐνθεωρουμένης, τὸν δὲ κατ' αὐτὴν τοῦ παντὸς περιδεδραγμένον, δι' ἑαυτῆς μηνυούσης· οὕτω καὶ πρὸς τὸν ἐν ἡμῖν βλέποντες κόσμον, οὐ μικρὰς ἔχομεν ἀφορμὰς πρὸς τὸ διὰ τῶν φαινομένων καὶ τοῦ κεκρυμμένου καταζοχάσασθαι. Κέκρυπται δὲ ἐκεῖνο, ὃ ἐφ' ἑαυτοῦ ὂν νοητόν τε καὶ ἀειδὲς διαφεύγει τὴν αἰσθητικὴν κατανόησιν.

D ΓΡΗΓ. Κἀγὼ εἶπον. Ἀλλὰ τὴν μὲν τοῦ παντὸς ὑπερκειμένην σοφίαν διὰ τῶν ἐνθεωρουμένων τῇ φύσει τῶν ὄντων σοφῶν τε καὶ τεχνικῶν λόγων ἐν τῇ ἐναρμονίῳ ταύτῃ διακοσμήσει δυνατόν ἐςιν ἀναλογίσασθαι· ψυχῆς δὲ γνῶσις διὰ τῶν κατὰ τὸ σῶμα δεικνυμένων τίς ἂν γένοιτο τοῖς ἀπὸ τῶν φαινομένων τὸ κρυπτὸν ἀνιχνεύουσιν;

totum in partibus compleri, et una quadam virtute rerum universitatem contineri, dum ipsa in se maneat et circum se moveatur, et nec moveri unquam desinat, neque in alium quendam locum, praeter eum, in quo est, tranferatur?

GREG. Et quo pacto, inquam, fieri potest, ut una eademque fide deus confirmetur atque hominis anima? Non est enim anima idem, quod deus, ita ut, si unum concedatur esse, simul concedatur omnino etiam reliquum.

MACR. At illa: Dicitur, inquit, a sapientibus homo parvus quidam esse mundus, qui haec contineat in se elementa, quibus rerum universitas completa est. Si autem hoc verum est, ut patet, fortasse non alio nobis opus fuerit auxilio, ut confirmetur nobis, quam de anima concepimus, opinio. Censuimus autem eam per se esse in natura propria et diversa a corporea illa crassitudine. Ut enim, universum mundum auxilio sensuum cognoscentes, ipsa sensus nostri operatione deducimur ad notionem rei et intelligentiae, quae sensum superat, et oculus nobis fit interpres omnipotentis sapientiae, quae in rerum quidem universitate cernitur, eum vero, qui per ipsam res universas undique comprehendit, per se indicat: ita eum quoque, qui in nobis est, mundum intuentes, non parvas habemus occasiones per ea, quae cernuntur, etiam id, quod absconditum est, coniectandi. Absconditum autem illud est, quod, quum in se sit, mente percipitur, formaeque expers est, et sensuum animadversionem effugit.

GREG. Atque ego: Verum sapientia quidem, inquam, quae rerum praeest universitati per eas, quae spectantur ni rerum natura, sapientes et artificiosas rationes in concinna hac dispositione reputari potest; animae vero cognitio per ea, quae in corpore ostenduntur, quaenam contingere possit iis, qui ex rebus apparentibus id, quod occultum est, investigant?

189 *ΜΑΚΡ. Καὶ μάλιστα μέν τοι, φησὶν ἡ παρθένος, τοῖς*
A *κατὰ τὸ σοφὸν ἐκεῖνο παράγγελμα γινώσκειν ἑαυτοὺς ἐπι-*
θυμοῦσιν ἱκανὴ διδάσκαλος τῶν περὶ ψυχῆς ὑπολήψεων
αὐτὴ ἡ ψυχή, ὅτι ἄϋλός τίς ἐστι καὶ ἀσώματος, καταλλή-
λως τῇ ἰδίᾳ φύσει ἐνεργοῦσά τε καὶ κινουμένη, καὶ διὰ τῶν
σωματικῶν ὀργάνων τὰς ἰδίας κινήσεις ἐνδεικνυμένη. Ἡ γὰρ
ὀργανικὴ τοῦ σώματος αὕτη διασκευὴ ἔστι μὲν οὐδὲν ἧττον
καὶ ἐπὶ τῶν ἀπονεκρωθέντων διὰ θανάτου, ἀλλ' ἀκίνητός
τε μένει καὶ ἀνενέργητος τῆς ψυχικῆς δυνάμεως, ἐν αὐτῇ
μὴ οὔσης. Κινεῖται δὲ τότε, ὅταν ἥ τε αἴσθησις ἐν τοῖς
B *ὀργάνοις ᾖ καὶ διὰ τῆς αἰσθήσεως ἡ νοητὴ δύναμις διή-*
κῃ, ταῖς ἰδίαις ὁρμαῖς συγκινοῦσα πρὸς τὸ δοκοῦν τὰ
ὀργανικὰ αἰσθητήρια.

ΓΡΗΓ. Τί οὖν, εἶπον, ἐστὶν ἡ ψυχή, εἰ δυνατὸν λό-
γῳ τινὶ τὴν φύσιν ὑπογραφῆναι, ὡς ἄν τις γένοιτο ἡμῖν
τοῦ ὑποκειμένου διὰ τῆς ὑπογραφῆς κατανόησις;

ΜΑΚΡ. Καὶ ἡ διδάσκαλος· Ἄλλοι μὲν ἄλλως, φησὶ,
τὸν περὶ αὐτῆς ἀπεφήναντο λόγον, κατὰ τὸ δοκοῦν ἕκα-
στος ὁριζόμενοι· ἡ δὲ ἡμετέρα περὶ αὐτῆς δόξα οὕτως ἔ-
χει· Ψυχή ἐστιν οὐσία γενητή, οὐσία ζῶσα, νοερὰ, σώματι
C *ὀργανικῷ καὶ αἰσθητικῷ δύναμιν ζωτικὴν καὶ τῶν αἰσθη-*
τῶν ἀντιληπτικὴν δι' ἑαυτῆς ἐνιεῖσα, ἕως ἂν ἡ δεκτικὴ
τούτων συνεχηκυῖα φαίνοιτο φύσις. Καὶ ἅμα ταῦτα λέ-
γουσα, δείκνυσι τῇ χειρὶ τὸν ἰατρὸν τὸν ἐπὶ θεραπείᾳ τοῦ
σώματος αὐτῇ παρακαθήμενον καί φησιν· Ἐγγὺς ἡμῖν
τῶν εἰρημένων ἡ μαρτυρία. Πῶς γὰρ, εἶπεν, οὗτος, ἐπι-
βαλὼν τῇ ἀρτηρίᾳ τὴν τῶν δακτύλων ἁφὴν, ἀκούει τρόπον
τινὰ διὰ τῆς ἁπτικῆς αἰσθήσεως πρὸς αὐτὸν βοώσης τῆς
φύσεως καὶ τὰ ἴδια πάθη διηγουμένης; Ὅτι ἐν ἐπιτάσει
D *ἐστὶ τῷ σώματι τὸ ἀῤῥώστημα καὶ ἀπὸ τῶνδε τῶν σπλάγ-*
χνων ἡ νόσος ὥρμηται, καὶ ἐπὶ τοσόνδε παρατείνει τοῦ
φλογμοῦ ἡ ἐπίτασις. Διδάσκεται δὲ καὶ ὑπὸ τοῦ ὀφθαλ-
μοῦ ἄλλα τοιαῦτα, πρός τε τὸ σχῆμα τῆς κατακλίσεως βλέ-
πων, καὶ πρὸς τὴν τῶν σαρκῶν τηκεδόνα, καὶ ὡς ἐπισημ-
αίνει τὴν ἔνδον διάθεσιν τό τε εἶδος τοῦ χρώματος, ὑ-
πωχρόν τε ὂν καὶ χολῶδες, καὶ ἡ τῶν ὀμμάτων βολὴ, πε-

MACR. Maxime quidem, inquit virgo, iis, qui convenienter sapienti illi praecepto se ipsos noscere cupiunt, opinionum de anima satis idonea magistra est ipsa anima, nempe quod expers materiae et incorporea quaedam sit, quae convenienter suae naturae et operetur et moveatur, et per corporea instrumenta suas motiones ostendat. Instrumentorum enim corporis haec digestio est quidem nihilo secius etiam in iis, qui morte sunt exstincti; sed, quod animae vis in ea non sit, expers manet et motionis et actionis. Movetur autem tum, quum et sensus instrumentis inest, et per sensum intelligendi vis pervadit, suo impulsu commovens, quo visum fuerit, sensuum instrumenta.

GREG. Quid igitur, inquam, est anima, si qua ratione natura eius describi potest, ut id, quod est subiectum, ex descriptione nonnihil a nobis intelligatur?

MACR. Et magistra: Alii quidem aliter, inquit, rationem eius ediderunt, prout sibi videbatur, quisque definientes; nostra autem de ea sic habet sententia: Anima est essentia genita, essentia vivens, intelligens, corporeis et sensuum instrumentis vivendi, atque ea, quae sub sensus cadunt, percipiendi facultatem per se immittens, donec capax earum rerum natura constare videatur. Et simul haec dicens, manu ostendit medicum, qui corporis curandi causa iuxta eam sedebat, et: Prope est, ait, nobis eorum, quae dicta sunt, testimonium. Quomodo enim, inquit, hic, arteriae tactu digitorum admoto, per tangendi sensum audit quodammodo ad ipsum clamantem naturam, suasque affectiones enarrantem? Quod in intentione nimirum corporis infirmitas est, et ab his visceribus exortus est morbus, et eo usque extenditur inflammationis intentio. Discit autem ex oculo alia quoque eiusmodi, et figuram decubitus intuens, et carnis tabem, et quemadmodum internam affectionem significet coloris forma subpallida et biliosa, et oculorum iactus, ad dolorem et tristitiam sua sponte incil-

ρὶ τὸ λυποῦν τε καὶ ἀλγῦνον αὐτομάτως ἐγκλινομένη· ὡς-
αύτως δὲ καὶ ἡ ἀκοὴ τῶν ὁμοίων διδάσκαλος γίνεται, τῷ
190τε πυκνῷ τοῦ ἄσθματος καὶ τῷ συνεκδιδομένῳ μετὰ τῆς
A ἀναπνοῆς ξεναγμῷ τὸ πάθος ἐπιγινώσκουσα. Εἴποι δ' ἂν
τις μηδὲ τὴν ὄσφρησιν τοῦ ἐπισήμονος ἀνεπίσκεπτον
εἶναι τοῦ πάθους, ἀλλὰ διὰ τῆς ποιᾶς τοῦ ἄσθματος ἰδιό-
τητος ἐπιγινώσκειν τὸ ἐγκεκρυμμένον τοῖς σπλάγχνοις ἀρ-
ῥώστημα. Ἆρ' οὖν, εἰ μή τις δύναμις ἦν νοητὴ ἡ ἑκάστῳ
τῶν αἰσθητηρίων παροῦσα; Τί ἂν ἡμᾶς ἡ χεὶρ ἀφ' ἑαυ-
τῆς ἐδιδάξατο, μὴ τῆς ἐννοίας πρὸς τὴν τοῦ ὑποκειμένου
B γνῶσιν τὴν ἀφὴν ὁδηγούσης; Τί δ' ἂν ἡ ἀκοὴ διανοίας
διεζευγμένη, ἢ ὀφθαλμὸς, ἢ μυκτὴρ, ἢ ἄλλο τι αἰσθητή-
ριον πρὸς τὴν ἐπίγνωσιν τοῦ ζητουμένου συνήργησεν, εἰ
ἐφ' ἑαυτοῦ μόνου τούτων ἕκαστον ἦν; Ἀλλ' ὃ πάντων
ἐστὶν ἀληθέστατον, ὃ καλῶς τις τῶν τὰ ἔξω πεπαιδευμένων
εἰπὼν μνημονεύεται, τὸν νοῦν εἶναι τὸν ὁρῶντα καὶ νοῦν
τὸν ἀκούοντα. Εἰ γὰρ μὴ τοῦτο δοίη τις ἀληθὲς εἶναι,
πῶς, εἰπὲ σὺ, πρὸς τὸν ἥλιον βλέπων, καθὼς ἐδιδάχθης
παρὰ τοῦ διδασκάλου βλέπειν, οὐχ ὅσος φαίνεται τοῖς
πολλοῖς, τοσοῦτον αὐτὸν φῂς εἶναι τῷ μεγέθει τοῦ κύ-
C κλου, ἀλλ' ὑπερβάλλειν πολλαπλασίονι τῷ μέτρῳ πᾶσαν
τὴν γῆν; Οὐκ, ἐπειδὴ τῇ ποιᾷ κινήσει, καὶ τοῖς χρονι-
κοῖς τε καὶ τοπικοῖς διασήμασι, καὶ ταῖς ἐκλειπτικαῖς αἰ-
τίαις τῇ διανοίᾳ διὰ τῶν φαινομένων ἀκολουθήσας, θαρ-
ῥῶν ἀποφαίνῃ τὸ οὕτως ἔχειν; Καὶ τῆς σελήνης μείωσίν
τε καὶ αὔξησιν βλέπων, ἄλλα διδάσκει διὰ τοῦ φαινομένου
περὶ τὸ σοιχεῖον σχήματος, τὸ ἀφεγγῆ τε εἶναι αὐτὴν κα-
τὰ τὴν ἰδίαν φύσιν, καὶ τὸν πρόσγειον κύκλον περιπολεῖν,
λάμπειν δὲ ἀπὸ τῶν ἡλιακῶν ἀκτίνων, ὡς ἐπὶ τῶν κα-
τόπτρων γίνεσθαι πέφυκεν, ἃ τὸν ἥλιον ἐφ' ἑαυτῶν δεχό-
D μενα οὐκ ἰδίας αὐγὰς ἀντιδίδωσιν, ἀλλὰ τοῦ ἡλιακοῦ φω-
τὸς, ἐκ τοῦ λείου καὶ σίλβοντος σώματος εἰς τὸ ἔμπαλιν
ἀνακλωμένου. Ὅπερ τοῖς ἀνεξετάστως βλέπουσιν ἐξ αὐτῆς
δοκεῖ τῆς σελήνης εἶναι τὸ φέγγος. Δείκνυται δὲ τὸ μὴ
οὕτως ἔχειν, ὅτι, γενομένη μὲν ἀντιπρόσωπος τῷ ἡλίῳ
κατὰ διάμετρον, ὅλῳ τῷ πρὸς ἡμᾶς βλέποντι κύκλῳ κατα-

nans. Itidem exsistit auditus quoque similium magister, tum ex crebro anhelitu, tum ex gemitu simul cum respiratione edito affectum cognoscens. Dixerit autem aliquis ne periti quidem odoratum non posse animadvertere morbum, sed per certam quandam anhelitus proprietatem cognoscere, quae in visceribus latet, aegritudinem. Numquid igitur, nisi aliqua vis, quae mente percipitur, unicuique sensuum adesset instrumento? Quid nos manus a se ipsa docuisset, nisi cogitatio mentis ad subiecti cognitionem tactum deduceret? Quid vero auditus a mente seiunctus, aut oculus, aut nasus, aut aliud quodpiam sensuum instrumentum ad cognitionem eius, quod quaeritur, iuvisset, si per se solum horum unumquodque esset? Sed omnium est verissimum, quod quidam ex iis, qui in externis versati sunt disciplinis, pulchre dixisse memoratur, mentem esse, quae videat, et mentem, quae audiat. Nam nisi quis hoc dederit esse verum, quomodo, dic tu, quum solem intueris, sicut a magistro intueri didicisti, non quantus vulgo apparet, tantum eum esse ais circuli magnitudine, sed longo spatio superare terram universam? Non, quod certum quendam motum, et temporum et locorum intervalla, defectionumque causas per ea, quae apparent, mente sequutus, confidenter pronuntias, ita se rem habere? Atque et lunae deminutionem et incrementum quum vides, alia discis per eam, quae apparet in elemento, figuram, videlicet eam et ex sua natura splendoris esse expertem, et circum terrae proximum orbem versari, lucem autem a solis radiis accipere, ut naturaliter fieri solet in speculis, quae solem in se recipientia non proprios splendores reddunt, sed solaris luminis, quod ex levi et splendente corpore in contrarium reflectitur. Quod quidem iis, qui sine iudicio adspiciunt, ex ipsa luna videtur esse lumen. Ostenditur autem non ita se habere, quod, quum soli quidem fuerit adversa ex diametro, toto, qui nos adspicit, orbe illuminatur; in minori autem,

φωτίζεται, ἐν ἐλάττονι δὲ τῷ καθ' ἑαυτὴν τόπῳ θᾶττον περιϊοῦσα τὸν ἐν ᾧ ἔχει κύκλον, πρὶν ἅπαξ τὸν ἥλιον περιοδεῦσαι τὸν ἴδιον δρόμον, πλέον ἢ δωδεκάκις αὐτὴ τὸν
191 καθ' ἑαυτὴν περιέρχεται. Διὸ συμβαίνει μὴ ἀεὶ πεπληA ρῶσθαι φωτὸς τὸ σοιχεῖον· οὐ γὰρ μένει ἐν τῷ πυκνῷ τῆς περιόδου διηνεκῶς ἀντιπρόσωπος τῷ διὰ πολλοῦ περιϊόντι τὸν ἴδιον πόλον ἢ δι' ὀλίγου πολλάκις τὸν ἑαυτῆς περιθέουσα· ἀλλ' ὥσπερ ἡ κατ' εὐθεῖαν ὡς πρὸς τὸν ἥλιον ἀντιπρόσωπος θέσις ἅπαν τὸ πρὸς ἡμᾶς τῆς σελήνης μέρος διὰ τῶν ἡλιακῶν ἀκτίνων πεφωτισμένον ἐποίησεν· οὕτως, ὅταν ἐπὶ τὰ πλάγια γένηται τοῦ ἡλίου, τοῦ ἀεὶ κατ' αὐτὸν γινομένου τῆς σελήνης ἡμισφαιρίου διαλαμβανομένου τῇ τῶν ἀκτίνων περιβολῇ, τὸ πρὸς ἡμᾶς κατ' ἀνάγκην ἀποσκιάζεται, ἀντιμεθισαμένης τῆς λαμπηδόνος ἀπὸ τοῦ μὴ δυναμένου πρὸς τὸν ἥλιον βλέπειν μέB ρους ἐπὶ τὸ ἀεὶ κατ' ἐκεῖνον γινόμενον, ἕως ἂν ὑποβᾶσα κατ' εὐθεῖαν τὸν ἡλιακὸν κύκλον κατὰ νώτου τὴν ἀκτῖνα δέξηται, καὶ οὕτω τοῦ ἄνωθεν ἡμισφαιρίου περιλαμφθέντος φόρατον ποιεῖ τὸ πρὸς ἡμᾶς μέρος τῷ εἶναι καθ' ὅλου τῇ ἰδίᾳ φύσει ἀφεγγὲς καὶ ἀφώτιστον, ὅπερ δὴ παντελὴς τοῦ σοιχείου μείωσις λέγεται. Εἰ δὲ παρέλθοι πάλιν τὸν ἥλιον κατὰ τὴν ἰδίαν τοῦ δρόμου κίνησιν, καὶ ἐκ πλαγίου γένοιτο τῇ ἀκτῖνι, τὸ πρὸ ὀλίγου ἀλαμπὲς ὑπολάμπειν ἄρχεται, τῆς ἀκτῖνος ἀπὸ τοῦ πεφωτισμένου πρὸς τὸ τέως ἀφεγγὲς μετιούσης. Ὁρᾷς οἷον σοι γίνεται ἡ ὄψις διC δάσκαλος, οὐκ ἄν σοι παρασχομένη δι' ἑαυτῆς τῶν τοιούτων τὴν θεωρίαν, εἰ μή τι ἦν τὸ διὰ τῶν ὄψεων βλέπον, ὃ τοῖς κατ' αἴσθησιν γινωσκομένοις οἷόν τισιν ὁδηγοῖς κεχρημένον διὰ τῶν φαινομένων ἐπὶ τὰ μὴ φαινόμενα διαδύεται; Τί δεῖ προστιθέναι τὰς γεωμετρικὰς ἐφόδους διὰ τῶν αἰσθητῶν χαραγμάτων πρὸς τὰ ὑπὲρ αἴσθησιν ἡμᾶς χειραγωγούσας, καὶ μύρια ἐπὶ τούτοις ἄλλα, δι' ὧν συνίσταται τὸ διὰ τῶν ἐν ἡμῖν σωματικῶς ἐνεργουμένων τῆς
D ἐγκεκρυμμένης τῇ φύσει ἡμῶν νοερᾶς οὐσίας τὴν κατάληψιν γίνεσθαι;

ΓΡΗΓ. Τί δὲ, εἶπον, εἰ, ὥσπερ κοινὸν μέν ἐστιν ἐπὶ

qui est apud ipsum, loco citius obiens eum, in quo est, circulum, priusquam sol suum cursum semel confecerit, ipsa plus quam duodecies suum complet orbem. Quamobrem accidit, ut non semper luce impleatur elementum; in frequenti enim ambitu non manet assidue ei adversa fronte, qui longo tempore suum ambit polum, ea, quae brevi tempore suum saepe circuit; sed sicut situs directo soli adversus omnem, quae ad nos adspicit, lunae partem solis radiis illuminat: ita, quando soli obiecta fuerit ex transverso, illo, quod semper est apud eum, lunae hemisphaerio radiorum ambitu intercepto, id, quod nos spectat, necessario obumbratur, transeunte splendore ab ea parte, quae solem adspicere non potest, ad eam, quae semper apud illum est, donec directo subiens orbem solis a tergo radium susceperit, et sic, quod superne est, hemisphaerio illustrato, quae ad nos vergit, partem facit non spectabilem, quod ex sua natura prorsus splendoris et luminis expers est, quod nimirum perfecta elementi deminutio dicitur. Si autem cursus sui motu solem rursus praeterierit, et ex transverso obiecta fuerit radio, quod paulo ante carebat lumine, sublucere incipit, radio ab illuminata parte ad eam, quae hactenus non lucebat, transeunte. Videsne qualium rerum tibi visus sit magister, qui tibi per se non praebuisset talium rerum contemplationem, nisi esset aliquid, quod per oculos cernat, quod iis, quae sensu cognoscuntur, veluti quibusdam ducibus usum per ea, quae apparent, ad ea, quae non apparent, penetret? Quid opus est geometricas addere demonstrationes, quae per sensiles formas ad ea, quae sensum superant, nos quasi manu ducunt, et alia praeter haec innumera, quibus constat per ea, quae corpore in nobis agantur, intelligentis essentiae, absconditae in natura nostra, comprehensionem fieri?

GREG. Quid vero, inquam, si, quemadmodum com-

τῆς αἰσθητῆς τῶν στοιχείων φύσεως τὸ ὑλῶδες, διαφορὰ δὲ κατὰ τὸ ἰδιάζον ἐν ἑκάστῳ εἶδει τῆς ὕλης πολλή· ἥ τε γὰρ κίνησις αὐτοῖς ἐκ τοῦ ἐναντίου ἐστὶν, τοῦ μὲν ἀνωφεροῦς ὄντος, τοῦ δὲ ἐπὶ τὸ κάτω βρίθοντος· τό τε εἶδος οὐ τὸ αὐτὸ καὶ ἡ ποιότης διάφορος· εἴ τινα τούτων κατὰ
192 τὸν αὐτὸν λόγον συνουσιωμένην τις εἶναι λέγοι δύναμιν
A τὴν τὰς νοητικὰς ταύτας φαντασίας τε καὶ κινήσεις ἐκ φυσικῆς ἰδιότητός τε καὶ δυνάμεως ἐνεργοῦσαν, οἷα δὴ πολλὰ βλέπομεν ὑπὸ τῶν μηχανοποιῶν ἐνεργούμενα, ἐφ' ὧν ἐν ὕλῃ τεχνικῶς διατεθεῖσα μιμεῖται τὴν φύσιν, οὐκ ἐν τῷ σχήματι μόνῳ δεικνῦσα τὸ ὅμοιον, ἀλλὰ καὶ ἐν κινήσει γίνεται, καὶ φθόγγον τινὰ ὑποκρίνεται, ἠχοῦντος ἐν τῷ φωνητικῷ μέρει τοῦ μηχανήματος, καὶ οὐ δήπου νοητήν τινα δύναμιν τοῖς γενομένοις ἐνθεωροῦμεν τὴν τὸ καθ' ἕκαστον ἐργαζομένην τὸ σχῆμα, τὸ εἶδος, τὸν ἦχον, τὴν κίνησιν· εἰ ταῦτα λέγοιμεν καὶ περὶ τὸ μηχανικὸν τοῦτο τῆς φύσεως ἡμῶν ὄργανον, μηδεμιᾶς κατὰ τὸ ἰδιάζον νοη-
B τῆς οὐσίας ἐγκεκραμένης, γίνεσθαι· ἀλλά τινος τῇ φύσει τῶν ἐν ἡμῖν στοιχείων κινητικῆς δυνάμεως ἐγκειμένης, καὶ τὴν τοιαύτην ἐνέργειαν ἀποτέλεσμα εἶναι, ἢ οὐδὲν ἄλλο ἢ κίνησίς τίς ἐστιν ὁρμητικὴ περὶ τὴν γνῶσιν τῶν σπουδαζομένων ἐνεργουμένη, τί ἂν μᾶλλον διὰ τούτων ἢ τὸ εἶναι ἐφ' ἑαυτῆς τὴν νοητὴν ἐκείνην καὶ ἀσώματον τῆς ψυχῆς οὐσίαν ἀποδεικνύοιτο, ἢ τὸ μηδ' ὅλως εἶναι;

ΜΑΚΡ. Ἡ δέ· Συμμαχεῖ, φησὶ, τῷ λόγῳ καὶ τὸ ὑπόδειγμα, καὶ ἡ κατασκευὴ πᾶσα τῆς ἀνθυπενεχθείσης ἡμῖν ἀντιῤῥήσεως οὐ μικρὰ συντελέσει πρὸς τὴν τῶν νοηθέντων ἡμῖν βεβαιότητα.

ΓΡΗΓ. Πῶς τοῦτο λέγεις;

ΜΑΚΡ. Ὅτι τοι, φησὶ, τὸ οὕτως εἰδέναι μεταχειρί-
C ζεσθαί τε καὶ διατιθέναι τὴν ἄψυχον ὕλην, ὡς τὴν ἐναποτεθεῖσαν τοῖς μηχανήμασι τέχνην μικροῦ δεῖν ἀντὶ τῆς ψυχῆς τῇ ὕλῃ γίνεσθαι, δι' ὧν κίνησίν τε καὶ ἦχον, καὶ σχήματα καὶ τὰ τοιαῦτα καθυποκρίνεται, ἀπόδειξις ἂν εἴη τοῦ εἶναί τε τοιοῦτον ἐν τῷ ἀνθρώπῳ, ὃ ταῦτα πέφυκε διὰ τῆς θεωρητικῆς καὶ ἐφευρετικῆς δυνάμεως κα-

mune quidem est in sensili elementorum natura id, quod est materiae particeps, differentia autem singulatim in unaquaque specie materiae magna (motus enim iis e contrario est, quum aliud sursum feratur, aliud deorsum vergat, et species non eadem, et qualitas diversa), si quis quandam his elementis eadem ratione insitam esse vim dicat, quae has intelligentiae visiones et motiones ex naturali proprietate atque facultate efficiat, cuiusmodi nempe multa videmus fieri ab iis, qui fabricantur machinas, in quibus materia artificiose disposita naturam imitatur, non in forma sola ostendens similitudinem, verum etiam in motu versatur, et vocem quandam simulat, resonante machina in parte, qua vox editur, nec utique vim ullam intelligentia praeditam in iis, quae fiunt, animadvertimus, quae singula operetur, figuram, speciem, sonum, motum: si haec dicamus etiam in hoc mechanico naturae nostro instrumento, nulla seorsum, quae mente percipiatur, natura infusa, fieri; sed quadam movendi facultate naturae eorum, quae in nobis sunt, elementorum insita, atque eiusmodi actionem esse effectum, quae nihil aliud est, quam motus quidam impellens, qui versatur circa cogitationem earum rerum, quibus operam studiumque navamus, quid per haec magis probetur, aut esse in se illam, quae mente percipiatur, et incorpoream animae essentiam, aut ne prorsus quidem esse?

MACR. Illa autem: Adiuvat, inquit, orationem nostram et exemplum, et totus apparatus ex adverso nobis illatae contradictionis non parum conferret ad stabilitatem eorum, quae a nobis mente sunt percepta.

GREG. Qui hoc dicis?

MACR. Quoniam profecto, inquit, ita scire et tractare et disponere inanimam materiam, ut ars, in machinas immissa, loco animae propemodum materiae sit, per quas imitatur motum, et sonum, et figuras, et quae sunt huiusmodi, satis fuerit ad demonstandum, esse aliquid eiusmodi in homine, quod natura comparatum sit, ut haec per contemplatricem atque inventricem facultatem cogitatione

τανοεῖν τε ἐν ἑαυτῷ καὶ προκατασκευάζειν τῇ διανοίᾳ τὰ μηχανήματα· εἶθ' οὕτως εἰς ἐνέργειαν διὰ τῆς τέχνης ἄγειν, καὶ διὰ τῆς ὕλης δεικνύειν τὸ νόημα. Πρῶτον γὰρ
D ὅτι πνεύματός ἐσι χρεία πρὸς τὴν ἐκφώνησιν κατενόησεν· εἶθ', ὅπως ἂν ἐπινοηθείη πνεῦμα τῷ μηχανήματι, τῷ λογισμῷ προεξήτασε, τὴν τῶν ςοιχείων φύσιν ἐπισκεψάμενος, ὅτι οὐδὲν κενὸν ἐν τοῖς οὖσίν ἐσιν, ἀλλὰ τῇ πρὸς
193 τὸ βαρύτερον παραθέσει κενὸν τὸ κοῦφον νομίζεται, ἐπεὶ
A καὶ αὐτὸς ἐφ' ἑαυτοῦ κατ' ἰδίαν ὑπόςασιν ὁ ἀὴρ ναςός τε καὶ πλήρης ἐςίν· διακενὸν γὰρ τὸ ἀγγεῖον ἐκ καταχρήσεως λέγεται, ὅταν τοῦ ὑγροῦ κενὸν ᾖ, οὐδὲν δὲ ἧττον μεςὸν ἀέρος ὁ πεπαιδευμένος καὶ τοῦτο λέγει. Σημεῖον δὲ τὸ ἐπαχθέντα τῇ λίμνῃ τὸν ἀμφορέα μὴ εὐθὺς πληροῦσθαι τοῦ ὕδατος, ἀλλ' ἐπιπολάζειν τὰ πρῶτα, τοῦ ἐναπειλημμένου ἀέρος ἐπὶ τὸ ἄνω τὸ κοῖλον ἀνέχοντος, ἕως ἂν πιεσθεὶς ὁ ἀμφορεὺς τῇ χειρὶ τοῦ ἀρυομέ-
B νου ἐν τῷ βάθει γένηται, καὶ τότε δέξηται τῷ ςομίῳ τὸ ὕδωρ, οὗ γινομένου δείκνυται τὸ μὴ κενὸν αὐτὸν εἶναι καὶ πρὸ τοῦ ὕδατος. Μαχὴ γάρ τις περὶ τὸ ςόμιον τῶν δύο ςοιχείων ὁρᾶται, τοῦ μὲν ὕδατος ὑπὸ βάρους ἐπὶ τὸ κοῖλον βιαζομένου τε καὶ εἰςρέοντος, τοῦ δὲ ἀέρος τοῦ ἐναπειλημμένου τῷ κοίλῳ διὰ τοῦ αὐτοῦ ςομίου ἐπὶ τὸ ἔμπαλιν συνθλιβομένου περὶ τὸ ὕδωρ, καὶ ἀναῤῥέοντος, ὡς καὶ ἀνακόπτεσθαι διὰ τούτου, καὶ ἀνακογχυλιάζειν τὸ ὕδωρ περιαφρίζον τῇ βίᾳ τοῦ πνεύματος. Ταῦτά τε οὖν κατενόησεν, καὶ ὅπως ἂν ἐντεθείη
C πνεῦμα τῇ μηχανήματι, διὰ τῆς τῶν ςοιχείων φύσεως ἐπενόησεν. Κοῖλον γάρ τι ἐκ ςεγανῆς ὕλης κατασκευάσας, καὶ πανταχόθεν τὸν ἐν αὐτῷ ἀέρα περισχὼν ἀδιάπνευςον, ἐπάγει τὸ ὕδωρ διὰ ςομίου τῷ κοίλῳ, κατὰ τὸ μέτρον τῆς χρείας τὸ ποσὸν συμμετρήσας τοῦ ὕδατος· εἶθ' οὕτως ἐπὶ τὸν παρακείμενον αὐλὸν δίδωσι κατὰ τὸ ἀντικείμενον τῷ ἀέρι τὴν δίοδον, ἐκθλιβόμενος δὲ τῷ ὕδατι βιαιότερον ὁ ἀὴρ πνεῦμα γίνεται, ὅπερ ἐμπῖπτον τῇ κατασκευῇ τοῦ αὐλοῦ τὸν ἦχον ποιεῖ. Ἆρ' οὖν οὐ φανερῶς
D δείκνυται διὰ τῶν φαινομένων, ὅτι ἔςι τις ἐν τῷ ἀνθρώπῳ

apud se concipiat ac praeparet machinas, deindé ita ad operationem eas per artem deducat, et per materiam mentis conceptum ostendat. Primum enim ad vocem edendam spiritu opus esse animadvertit: deinde, ut spiritus in machinam immittendi excogitaretur ratio, natura elementorum considerata, reputando prius examinavit, nihil vacuum esse in rerum natura, sed collatum cum eo, quod sit gravius, id, quod sit leve, vacuum putari, quum et ipse aër in se sua substantia solidus ac plenus sit: vacuum enim vas ex abusione dicitur, quando humido vacuum est; nihilo minus autem aëris plenum eruditus etiam hoc esse dicit. Signum autem est, quod amphora stagno admota non protinus aqua impletur, sed innatat primum, intercepto aëre concavum sursum tollente, donec pressa amphora manu haurientis in fundo fuerit, et ore tunc aquam acceperit. Quod si fit, ostenditur eam non esse vacuam etiam ante aquam acceptam. Nam pugna quaedam duorum circa os elementorum cernitur, quum aqua quidem propter gravitatem in concavum vi feratur, atque influat; aër autem, concavo interceptus, per idem os in contrarium circa aquam comprimatur, atque refluat, adeo ut et impediatur per hunc, et quasi e conchylio sonum edat aqua circumspumans vi spiritus. Et haec igitur animadvertit, et quomodo spiritus immitteretur in machinam, per elementorum naturam excogitavit. Nam quiddam concavum quum ex solida materia construxisset, et aërem in eo inclusum undique continuisset, ne efflaretur, aquam per osculum in concavum inducit, usui convenienter aquae quantitatem dimensus: deinde sic ad appositam fistulam ex adverso transitum aëri dat, expressus autem aqua violentius aër fit spiritus, qui incidens in fistulae structuram sonum edit. An non igitur per ea, quae apparent, manifesto ostenditur esse quandam in homine mentem aliquid aliud praeter id, quod cernatur, quae eo, quod sit formae expers et intelligens

νοῦς ἄλλο τι παρὰ τὸ φαινόμενον, ὁ τῷ ἀειδεῖ τε καὶ κοερῷ τῆς ἰδίας φύσεως ταῦτα ἐν ἑαυτῷ προκατασκευάζων ταῖς ἐπινοίαις· εἶθ' οὕτως διὰ τῆς ὑλικῆς ὑπηρεσίας εἰς τὸ ἐμφανὲς ἄγων τὴν ἔνδον συςᾶσαν διάνοιαν; Εἰ γὰρ ἦν κατὰ τὸν ἀντιτεθέντα λόγον ἡμῖν τῇ φύσει τῶν ςοιχείων τὰς τοιαύτας θαυματοποιΐας καταλογίζεσθαι, αὐτο-
194 μάτως ἂν ἡμῖν συνέςη πάντως τὰ μηχανήματα, καὶ οὔτε
A ὁ χαλκὸς τὴν τέχνην ἀνέμενεν εἰς τὸ γενέσθαι ἀνδρείκελος, ἀλλ' εὐθὺς ἂν τοιοῦτος ἐκ φύσεως ἦν, οὐδ' ἂν τοῦ αὐλοῦ πρὸς τὸν ἦχον ὁ ἀὴρ ἐδεήθη, ἀλλὰ πάντοτε ἂν ἐφ' ἑαυτοῦ ἦχει, κατὰ τὸ συμβὰν ῥέων τε καὶ κινούμενος, τοῦ τε ὕδατος οὐκ ἂν ἦν βεβιασμένη διὰ σωλῆνος ἡ πρὸς τὸ ἄνω φορὰ τῆς τέχνης ἐκ πιεσμάτων εἰς τὸ παρὰ φύσιν ἀναθλιβούσης τὴν κίνησιν, ἀλλ' αὐτομάτως ἂν ἦει τὸ ὕδωρ πάντως πρὸς τὸ μηχάνημα, τῇ ἰδίᾳ φύσει ἐπὶ τὸ ἄνω ὀ-
B χετηγούμενον. Εἰ δὲ τούτων κατὰ τὸ αὐτόματον ἔχειν οὐδὲν ὑπὸ τῆς τῶν ςοιχείων φύσεως ἐνεργούμενον, ἀλλὰ τέχνῃ πρὸς τὸ δοκοῦν ἕκαςον ἄγεται· ἡ δὲ τέχνη διάνοιά τίς ἐςιν ἀσφαλὴς, πρός τινα σκοπὸν ἐνεργουμένη διὰ τῆς ὕλης, ἡ δὲ διάνοια νοῦ τίς ἐςιν οἰκεία κίνησίς τε καὶ ἐνέργεια, ἆρα καὶ διὰ τῶν ἀντιθέτων ἡμῖν τὸ ἄλλο τι παρὰ τὸ φαινόμενον εἶναι τὸν νοῦν ἡ ἀκολουθία τῶν εἰρημένων ἀπέδειξεν.

ΓΡΗΓ.. Ἐγὼ δὲ τοῦτο μὲν οὕτως ἔχειν φημὶ καὶ αὐτὸς, τὸ μὴ ταὐτὸν εἶναι τῷ φαινομένῳ τὸ μὴ φαινόμενον· οὐ μὴν τὸ ζητούμενον ἐν τῷ λόγῳ τούτῳ βλέπω· οὕπω γάρ μοι δῆλόν ἐςιν, ὅ τί ποτε χρὴ νομίζειν, ἐκεῖνο εἶναι τὸ μὴ φαινόμενον, ἀλλ' ὅτι μὲν ὑλικόν τι οὐκ ἔςιν, ἐδι-
C δάχθην τῷ λόγῳ· οὐδέπω δὲ ἔγνων, ὅ τι περὶ αὐτοῦ προςήκει λέγειν. Ἐγὼ δὲ τοῦτο μάλιςα ἐδεόμην μαθεῖν, οὐχ ὅ τι οὐκ ἔςιν, ἀλλ' ὅπερ ἐςίν.

ΜΑΚΡ. Ἡ δέ· Πολλὰ, φησὶ, καὶ περὶ πολλῶν οὕτω μανθάνομεν ἐν τῷ μὴ τόδε τι λέγειν εἶναι, αὐτὸ τὸ εἶναι τοῦ ζητουμένου, ὅ τί ποτέ ἐςι, διερμηνεύοντες. Ἀπόνηρον γὰρ εἰπόντες τὸν ἀγαθὸν παρεςήσαμεν, καὶ ἄνανδρον ὀνομάσαντες τὸν δειλὸν ἐγνωρίσαμεν, καὶ πολλὰ τούτοις

suae naturae, haec in se excogitata praeparet: deinde sic per materiae ministerium intus conceptam cogitationem in apertum producat? Nam si iuxta oppositam nobis orationem naturae elementorum eiusmodi miracula adscribere liceret, casu fortuito nobis omnino consisterent machinae, neque aes artem exspectaret, ut viri referat similitudinem, sed statim a natura esset eiusmodi, neque ad sonum edendum aër tubo opus haberet, sed semper per se sonaret, casu fortuito et fluens et se movens, nec aqua per fistulam sursum vi ferretur, premendi arte praeter naturam elidente motum, sed sua sponte aqua omnino ad machinam adscenderet, sua natura sursum evecta. Sin autem horum sua sponte nihil ab elementorum natura efficitur, sed arte, quorsum videtur, unumquodque ducitur; ars autem est intelligentia quaedam stabilis, ad aliquod propositum per materiam operans: atque intelligentia mentis proprius quidam motus et operatio est, nimirum etiam per opposita nobis aliquid aliud atque appareat, mentem esse dictorum consequentia demonstravit.

GREG. Ego autem hoc quidem ita se habere et ipse dico, non idem esse id, quod non appareat, cum eo, quod appareat; non tamen, quod quaeritur, in hac oratione video; nondum enim mihi liquet, quid tandem existimare oporteat illud esse, quod non appareat, sed non esse quicquam materiae particeps ex tua oratione didici; nondum autem cognovi, quid de eo dicere conveniat. Ego autem hoc maxime volebam scire, non quid non sit, sed quid sit.

MACR. At illa: Multa, inquit, etiam de multis ita discimus, dum dicimus non hoc aliquid esse, ipsam essentiam rei quaesitae, quidnam tandem sit, interpretantes. Non malum enim dicentes, bonum ostendimus: et non virilem nominantes, ignavum designamus, multaque his

189 ΜΑΚΡ. Καὶ μάλιστα μέν τοι, φησὶν ἡ παρθένος, τοῖς
A κατὰ τὸ σοφὸν ἐκεῖνο παράγγελμα γινώσκειν ἑαυτοὺς ἐπιθυμοῦσιν ἱκανὴ διδάσκαλος τῶν περὶ ψυχῆς ὑπολήψεων αὐτὴ ἡ ψυχή, ὅτι ἄϋλός τίς ἐστι καὶ ἀσώματος, καταλλήλως τῇ ἰδίᾳ φύσει ἐνεργοῦσά τε καὶ κινουμένη, καὶ διὰ τῶν σωματικῶν ὀργάνων τὰς ἰδίας κινήσεις ἐνδεικνυμένη. Ἡ γὰρ ὀργανικὴ τοῦ σώματος αὕτη διασκευὴ ἔξι μὲν οὐδὲν ἧττον καὶ ἐπὶ τῶν ἀπονεκρωθέντων διὰ θανάτου, ἀλλ' ἀκίνητός τε μένει καὶ ἀνενέργητος τῆς ψυχικῆς δυνάμεως, ἐν αὐτῇ μὴ οὔσης. Κινεῖται δὲ τότε, ὅταν ἥ τε αἴσθησις ἐν τοῖς
B ὀργάνοις ᾖ καὶ διὰ τῆς αἰσθήσεως ἡ νοητὴ δύναμις διήκῃ, ταῖς ἰδίαις ὁρμαῖς συγκινοῦσα πρὸς τὸ δοκοῦν τὰ ὀργανικὰ αἰσθητήρια.

ΓΡΗΓ. Τί οὖν, εἶπον, ἐστὶν ἡ ψυχή, εἰ δυνατὸν λόγῳ τινὶ τὴν φύσιν ὑπογραφῆναι, ὡς ἄν τις γένοιτο ἡμῖν τοῦ ὑποκειμένου διὰ τῆς ὑπογραφῆς κατανόησις;

ΜΑΚΡ. Καὶ ἡ διδάσκαλος· Ἄλλοι μὲν ἄλλως, φησί, τὸν περὶ αὐτῆς ἀπεφήναντο λόγον, κατὰ τὸ δοκοῦν ἕκαστος ὁριζόμενοι· ἡ δὲ ἡμετέρα περὶ αὐτῆς δόξα οὕτως ἔχει· Ψυχή ἐστιν οὐσία γενητή, οὐσία ζῶσα, νοερὰ, σώματι
C ὀργανικῷ καὶ αἰσθητικῷ δύναμιν ζωτικὴν καὶ τῶν αἰσθητῶν ἀντιληπτικὴν δι' ἑαυτῆς ἐνιεῖσα, ἕως ἂν ἡ δεκτικὴ τούτων συνεχηκυῖα φαίνοιτο φύσις. Καὶ ἅμα ταῦτα λέγουσα, δείκνυσι τῇ χειρὶ τὸν ἰατρὸν τὸν ἐπὶ θεραπείᾳ τοῦ σώματος αὐτῇ παρακαθήμενον καί φησιν· Ἐγγὺς ἡμῖν τῶν εἰρημένων ἡ μαρτυρία. Πῶς γὰρ, εἶπεν, οὗτος, ἐπιβαλὼν τῇ ἀρτηρίᾳ τὴν τῶν δακτύλων ἁφὴν, ἀκούει τρόπον τινὰ διὰ τῆς ἁπτικῆς αἰσθήσεως πρὸς αὐτὸν βοώσης τῆς φύσεως καὶ τὰ ἴδια πάθη διηγουμένης; Ὅτι ἐν ἐπιτάσει
D ἐστὶ τῷ σώματι τὸ ἀῤῥώστημα καὶ ἀπὸ τῶνδε τῶν σπλάγχνων ἡ νόσος ὥρμηται, καὶ ἐπὶ τοσόνδε παρατείνει τοῦ φλογμοῦ ἡ ἐπίτασις. Διδάσκεται δὲ καὶ ὑπὸ τοῦ ὀφθαλμοῦ ἄλλα τοιαῦτα, πρός τε τὸ σχῆμα τῆς κατακλίσεως βλέπων, καὶ πρὸς τὴν τῶν σαρκῶν τηκεδόνα, καὶ ὡς ἐπισημαίνει τὴν ἔνδον διάθεσιν τό τε εἶδος τοῦ χρώματος, ὑπωχρόν τε ὂν καὶ χολῶδες, καὶ ἡ τῶν ὀμμάτων βολὴ, πε-

MACR. Maxime quidem, inquit virgo, iis, qui convenienter sapienti illi praecepto se ipsos noscere cupiunt, opinionum de anima satis idonea magistra est ipsa anima, nempe quod expers materiae et incorporea quaedam sit, quae convenienter suae naturae et operetur et moveatur, et per corporea instrumenta suas motiones ostendat. Instrumentorum enim corporis haec digestio est quidem nihilo secius etiam in iis, qui morte sunt exstincti; sed, quod animae vis in ea non sit, expers manet et motionis et actionis. Movetur autem tum, quum et sensus instrumentis inest, et per sensum intelligendi vis pervadit, suo impulsu commovens, quo visum fuerit, sensuum instrumenta.

GREG. Quid igitur, inquam, est anima, si qua ratione natura eius describi potest, ut id, quod est subiectum, ex descriptione nonnihil a nobis intelligatur?

MACR. Et magistra: Alii quidem aliter, inquit, rationem eius ediderunt, prout sibi videbatur, quisque definientes; nostra autem de ea sic habet sententia: Anima est essentia genita, essentia vivens, intelligens, corporeis et sensuum instrumentis vivendi, atque ea, quae sub sensus cadunt, percipiendi facultatem per se immittens, donec capax earum rerum natura constare videatur. Et simul haec dicens, manu ostendit medicum, qui corporis curandi causa iuxta eam sedebat, et: Prope est, ait, nobis eorum, quae dicta sunt, testimonium. Quomodo enim, inquit, hic, arteriae tactu digitorum admoto, per tangendi sensum audit quodammodo ad ipsum clamantem naturam, suasque affectiones enarrantem? Quod in intentione nimirum corporis infirmitas est, et ab his visceribus exortus est morbus, et eo usque extenditur inflammationis intentio. Discit autem ex oculo alia quoque eiusmodi, et figuram decubitus intuens, et carnis tabem, et quemadmodum internam affectionem significet coloris forma subpallida et biliosa, et oculorum iactus, ad dolorem et tristitiam sua sponte incil-

ρὶ τὸ λυποῦν τε καὶ ἀλγῦνον αὐτομάτως ἐγκλινομένη· ὡς-
αύτως δὲ καὶ ἡ ἀκοὴ τῶν ὁμοίων διδάσκαλος γίνεται, τῷ
190τε πυκνῷ τοῦ ἄσθματος καὶ τῷ συνεκδιδομένῳ μετὰ τῆς
A ἀναπνοῆς ξεναγμῷ τὸ πάθος ἐπιγινώσκουσα. Εἴποι δ' ἄν
τις μηδὲ τὴν ὄσφρησιν τοῦ ἐπισήμονος ἀνεπίσκεπτον
εἶναι τοῦ πάθους, ἀλλὰ διὰ τῆς ποιᾶς τοῦ ἄσθματος ἰδιό-
τητος ἐπιγινώσκειν τὸ ἐγκεκρυμμένον τοῖς σπλάγχνοις ἀῤ-
ῥώστημα. Ἆρ' οὖν, εἰ μή τις δύναμις ἦν νοητὴ ἡ ἑκάστῳ
τῶν αἰσθητηρίων παροῦσα; Τί ἂν ἡμᾶς ἡ χεὶρ ἀφ' ἑαυ-
τῆς ἐδιδάξατο, μὴ τῆς ἐννοίας πρὸς τὴν τοῦ ὑποκειμένου
B γνῶσιν τὴν ἀφὴν ὁδηγούσης; Τί δ' ἂν ἡ ἀκοὴ διανοίας
διεζευγμένη, ἢ ὀφθαλμὸς, ἢ μυκτὴρ, ἢ ἄλλο τι αἰσθητή-
ριον πρὸς τὴν ἐπίγνωσιν τοῦ ζητουμένου συνήργησεν, εἰ
ἐφ' ἑαυτοῦ μόνου τούτων ἕκαστον ἦν; Ἀλλ' ὃ πάντων
ἐστὶν ἀληθέστατον, ὃ καλῶς τις τῶν τὰ ἔξω πεπαιδευμένων
εἰπὼν μνημονεύεται, τὸν νοῦν εἶναι τὸν ὁρῶντα καὶ νοῦν
τὸν ἀκούοντα. Εἰ γὰρ μὴ τοῦτο δοίη τις ἀληθὲς εἶναι,
πῶς, εἰπὲ σὺ, πρὸς τὸν ἥλιον βλέπων, καθὼς ἐδιδάχθης
παρὰ τοῦ διδασκάλου βλέπειν, οὐχ ὅσος φαίνεται τοῖς
πολλοῖς, τοσοῦτον αὐτὸν φῂς εἶναι τῷ μεγέθει τοῦ κύ-
C κλου, ἀλλ' ὑπερβάλλειν πολλαπλασίονι τῷ μέτρῳ πᾶσαν
τὴν γῆν; Οὐκ, ἐπειδὴ τῇ ποιᾷ κινήσει, καὶ τοῖς χρονι-
κοῖς τε καὶ τοπικοῖς διασήμασι, καὶ ταῖς ἐκλειπτικαῖς αἰ-
τίαις τῇ διανοίᾳ διὰ τῶν φαινομένων ἀκολουθήσας, θαῤ-
ῥῶν ἀποφαίνῃ τὸ οὕτως ἔχειν; Καὶ τῆς σελήνης μείωσίν
τε καὶ αὔξησιν βλέπων, ἄλλα διδάσκει διὰ τοῦ φαινομένου
περὶ τὸ σχοιχεῖον σχήματος, τὸ ἀφεγγῆ τε εἶναι αὐτὴν κα-
τὰ τὴν ἰδίαν φύσιν, καὶ τὸν πρόσγειον κύκλον περιπολεῖν,
λάμπειν δὲ ἀπὸ τῶν ἡλιακῶν ἀκτίνων, ὡς ἐπὶ τῶν κα-
τόπτρων γίνεσθαι πέφυκεν, ἃ τὸν ἥλιον ἐφ' ἑαυτῶν δεχό-
D μενα οὐκ ἰδίας αὐγὰς ἀντιδίδωσιν, ἀλλὰ τοῦ ἡλιακοῦ φω-
τὸς, ἐκ τοῦ λείου καὶ σίλβοντος σώματος εἰς τὸ ἔμπαλιν
ἀνακλωμένου. Ὅπερ τοῖς ἀνεξετάστως βλέπουσιν ἐξ αὐτῆς
δοκεῖ τῆς σελήνης εἶναι τὸ φέγγος. Δείκνυται δὲ τὸ μὴ
οὕτως ἔχειν, ὅτι, γενομένη μὲν ἀντιπρόσωπος τῷ ἡλίῳ
κατὰ διάμετρον, ὅλῳ τῷ πρὸς ἡμᾶς βλέποντι κύκλῳ κατα-

nans. Itidem exsistit auditus quoque similium magister, tum ex crebro anhelitu, tum ex gemitu simul cum respiratione edito affectum cognoscens. Dixerit autem aliquis ne periti quidem odoratum non posse animadvertere morbum, sed per certam quandam anhelitus proprietatem cognoscere, quae in visceribus latet, aegritudinem. Numquid igitur, nisi aliqua vis, quae mente percipitur, unicuique sensuum adesset instrumento? Quid nos manus a se ipsa docuisset, nisi cogitatio mentis ad subiecti cognitionem tactum deduceret? Quid vero auditus a mente seiunctus, aut oculus, aut nasus, aut aliud quodpiam sensuum instrumentum ad cognitionem eius, quod quaeritur, iuvisset, si per se solum horum unumquodque esset? Sed omnium est verissimum, quod quidam ex iis, qui in externis versati sunt disciplinis, pulchre dixisse memoratur, mentem esse, quae videat, et mentem, quae audiat. Nam nisi quis hoc dederit esse verum, quomodo, dic tu, quum solem intueris, sicut a magistro intueri didicisti, non quantus vulgo apparet, tantum eum esse ais circuli magnitudine, sed longo spatio superare terram universam? Non, quod certum quendam motum, et temporum et locorum intervalla, defectionumque causas per ea, quae apparent, mente sequutus, confidenter pronuntias, ita se rem habere? Atque et lunae deminutionem et incrementum quum vides, alia discis per eam, quae apparet in elemento, figuram, videlicet eam et ex sua natura splendoris esse expertem, et circum terrae proximum orbem versari, lucem autem a solis radiis accipere, ut naturaliter fieri solet in speculis, quae solem in se recipientia non proprios splendores reddunt, sed solaris luminis, quod ex levi et splendente corpore in contrarium reflectitur. Quod quidem iis, qui sine iudicio adspiciunt, ex ipsa luna videtur esse lumen. Ostenditur autem non ita se habere, quod, quum soli quidem fuerit adversa ex diametro, toto, qui nos adspicit, orbe illuminatur; in minori autem,

εἰ τὸν τῆς φύσεώς τις ἀπαιτοίη λόγον, παμπληθὲς
ἀπέχει οὐσία θεοῦ πρὸς τὰ καθ' ἕκαστον ἐν τῇ κτίσει
D δεικνύμενά τε καὶ νοούμενα, ἀλλ' ὅμως ἐν τούτοις εἶναι
τὸ διεξῶς κατὰ τὴν φύσιν ὁμολογεῖται· οὕτως οὐδὲν ἄ-
πιστον, καὶ τὴν τῆς ψυχῆς οὐσίαν ἄλλο τι καθ' ἑαυτὴν
οὖσαν, ὅ τί ποτε καὶ εἶναι εἰκάζεται, μὴ ἐμποδίζεσθαι
πρὸς τὸ εἶναι, τῶν στοιχειωδῶς ἐν τῷ κόσμῳ θεωρουμέ-
197 νων οὐ συμβαινόντων αὐτῇ κατὰ τὸν λόγον τῆς φύσεως·
A οὐδὲ γὰρ ἐπὶ τῶν ζώντων σωμάτων, καθὼς ἤδη προείρη-
ται, οἷς ἡ ὑπόστασις ἐκ τῆς τῶν στοιχείων ἐστὶ συγκράσεως
κοινωνία τις κατὰ τὸν τῆς οὐσίας λόγον ἐστὶ τῷ ἁπλῷ τε
καὶ ἀειδεῖ τῆς ψυχῆς πρὸς τὴν σωματικὴν παχυμέρειαν·
ἀλλ' ὅμως τὸ ἐν τούτοις εἶναι τὴν ζωτικὴν τῆς ψυχῆς ἐν-
έργειαν οὐκ ἀμφιβάλλεται, λόγῳ τινὶ κρείττονι τῆς ἀν-
θρωπίνης κατανοήσεως ἀνακραθεῖσαν. Οὐκοῦν οὐδὲ ἀνα-
λυσάντων πρὸς ἑαυτὰ τῶν ἐν τῷ σώματι στοιχείων, τὸ
B συνδέον αὐτὰ διὰ τῆς ζωτικῆς ἐνεργείας ἀπόλωλεν· ἀλλ'
ὥσπερ συνεχῶτος ἔτι τοῦ τῶν στοιχείων συγκρίματος ψυ-
χοῦται τὰ καθ' ἕκαστον, ἴσως τε καὶ ὁμοίως πᾶσι τοῖς
μέρεσι τοῖς συμπληροῦσι τὸ σῶμα τῆς ψυχῆς ἐνδυομένης,
καὶ οὐκ ἄν τις εἴποι οὔτε σεῤῥὰν αὐτὴν καὶ ἀντίτυπον
εἶναι τῷ γεώδει συγκεκραμμένην, οὔτε ὑγρὰν ἢ ψυχρὰν
ἢ τὴν τῷ ψυχρῷ ἀντικειμένην ποιότητα, τὴν ἐν ἅπασιν
οὖσαν τούτοις, καὶ ἑκάστῳ τὴν ζωτικὴν δύναμιν ἐνιεῖσαν·
οὕτω καὶ λυθέντος τοῦ συγκρίματος, καὶ εἰς τὰ οἰκεῖα
πάλιν ἀναδραμόντος, τὴν ἁπλῆν ἐκείνην καὶ ἀσύνθετον
C φύσιν ἑκάστῳ παρεῖναι τῶν μερῶν καὶ μετὰ τὴν διάλυσιν
οἴεσθαι οὐδὲν ἔξω τοῦ εἰκότος ἐστὶν, ἀλλὰ τὴν ἅπαξ ἀῤ-
ῥήτῳ τινὶ συμφυεῖσαν λόγῳ τῷ τῶν στοιχείων συγκρίματι,
καὶ εἰς ἀεὶ παραμένειν οἷς κατεμίχθη, μηδένι τρόπῳ τῆς
γενομένης ἅπαξ αὐτῇ συμφυΐας ἀποσπωμένην· οὐ γὰρ
ἐπειδὴ λύεται τὸ συγκείμενον, καὶ κινδυνεύει συνδιαλυθῆ-
ναι τῷ συνθέτῳ τὸ μὴ συγκείμενον.

ΓΡΗΓ. Κἀγὼ εἶπον· Ἀλλὰ τὰ μὲν στοιχεῖα συμπί-
D πτειν τε πρὸς ἄλληλα καὶ ἀπ' ἀλλήλων διακρίνεσθαι,
καὶ τοῦτο εἶναι τὴν τοῦ σώματος σύγασίν τε καὶ διάλυσιν

laribus rebus, quae in creatura et ostenduntur et intelliguntur: attamen in his esse constat id, quod natura diversum est;) ita minime incredibile est, animae quoque essentiam, quae per se est aliquid aliud, quodcunque tandem etiam esse putatur, non impediri, quin sit, etiamsi ea, quae in mundo tanquam elementa considerantur, ei ratione naturae non conveniant: quemadmodum enim iam ante dictum est, ne in viventibus quidem corporibus, quae constant ex elementorum temperatione, communitas quaedam est, secundum essentiae rationem, simplici formaeque experti animae cum corporea crassitudine: sed tamen non dubitatur in his esse vitalem animae operationem, maiore quadam ratione temperatam, quam ut mens humana eam assequi possit. Ergo ne resolutis quidem in se, quae in corpore sunt, elementis, periit quod ea per vitalem colligebat operationem; sed quemadmodum constante adhuc elementorum concretione animantur singula, pariter atque similiter in omnes partes, quae complent corpus, anima penetrante, nec solidam atque renitentem eam esse dixerit, quae cum terreno commixta sit, neque humidam, aut frigidam, aut frigido contrariam qualitatem, quae in his omnibus sit, et unicuique vitalem facultatem immittat: ita soluta quoque illa coagmentatione, et ad proprias res iterum redacta, simplicem illam atque incompositam naturam unicuique adesse parti etiam post dissolutionem a verisimilitudine nequaquam alienum est, sed quae semel ineffabili quadam ratione cum elementorum concretione coaluerit, etiam in perpetuum manere in iis, quibus fuit commixta, neque ullo modo ab ea, quae semel ei contigerit, coalescentia avelli: non enim, quia solvitur id, quod compositum est, inde etiam necessario sequitur, una cum composito dissolvi id, quod non est compositum.

GREG. Atque ego: Verum elementa quidem, inquam, inter se cogi et alterum ab altero discerni, idque corporis esse tum constitutionem, tum dissolutionem nemo contradixerit. Quoniam autem multum interesse in-

οὐδεὶς ἂν ἀντείποι. Ἐπειδὴ δὲ πολὺ τὸ μέσον ἑκάσου νοεῖται τούτων τῶν ἑτερογενῶς ἐχόντων πρὸς ἄλληλα κα-
198 τά τε τὴν τοπικὴν θέσιν καὶ τὴν τῶν ποιοτήτων διαφο-
A ράν τε καὶ ἰδιότητα, συνδεδραμηκότων μὲν ἀλλήλοις περὶ τὸ ὑποκείμενον τῶν στοιχείων τὴν νοερὰν ταύτην καὶ ἀδιάστατον φύσιν, ἣν καλοῦμεν ψυχήν, ἀκολουθὸν συμφυῶς πρὸς τὸ ἡνωμένον ἔχειν· εἰ δὲ ἀπ᾽ ἀλλήλων διακριθείη ταῦτα κἀκεῖσε γένοιτο, ὅπηπερ ἂν ἕκαστον ἡ φύσις ἄγῃ, τί πείσεται ἡ ψυχὴ, πολλαχῇ τοῦ ὀχήματος αὐτῇ διασπαρέντος; Ὥσπερ τις ναύτης, τῆς ὁλκάδος ἐν ναυαγίῳ διαλυθείσης, ἀδυνατῶν πᾶσι τοῖς τοῦ πλοίου μορίοις, ἄλλοις ἀλλαχῇ τοῦ πελάγους ἐσκεδασμένοις, κατὰ ταὐτὸν
B ἐπινήξασθαι· πάντως γὰρ, τοῦ ἐπιτυχόντος λαβόμενος, τὰ λοιπὰ φέρειν καταλείψει τοῖς κύμασιν· τὸν αὐτὸν τρόπον ἡ ψυχὴ, τῇ διακρίσει τῶν στοιχείων συνδιασχισθῆναι φύσιν οὐκ ἔχουσα, εἴπερ δυσαπαλλάκτως ἔχει τοῦ σώματος ἑνί τινι πάντως προσφυεῖσα στοιχείῳ, τῶν ἄλλων ἀποσχισθήσεται, καὶ οὐδὲν μᾶλλον ἀθάνατον αὐτὴν διὰ τὸ ἐν ἑνὶ ζῇν ἢ θνητὴν διὰ τὸ ἐν τοῖς πλείοσι μὴ εἶναι ἡ ἀκολουθία τοῦ λόγου δίδωσιν οἴεσθαι.

ΜΑΚΡ. Ἀλλ᾽ οὔτε συγέλλεται, φησὶν, οὔτε διαχεῖται τὸ νοητόν τε καὶ ἀδιάστατον· σωμάτων γὰρ ἴδιον συ-
C στολὴ καὶ διάχυσις· ἐπ᾽ ἴσης δὲ κατὰ τὴν ἰδίαν φύσιν τὴν ἀειδῆ καὶ ἀσώματον τῇ τε συγκρίσει τῶν στοιχείων περὶ τὸ σῶμα καὶ τῇ διακρίσει πάρεσιν, οὔτε συνεσφιγμένων ἐν τῷ συγκρίματι τῶν στοιχείων ξενοχωρουμένη, οὔτε ἀποφοιτησάντων ἐπὶ τὰ συγγενῆ καὶ κατὰ φύσιν αὐτοῖς ἀπολιμπανομένη, κἂν πολὺ τὸ μέσον εἶναι δοκῇ τὸ τῇ ἑτερότητι τῶν στοιχείων ἐνθεωρούμενον· πολλὴ γὰρ ἡ διαφορὰ τοῦ ἀνωφεροῦς τε καὶ κούφου πρὸς τὸ βαρὺ καὶ γεῶδες, καὶ τοῦ θερμοῦ πρὸς τὸ ψυχρὸν καὶ τοῦ ὑγροῦ πρὸς τὸ ἐναντίον· ἀλλ᾽ ὅμως οὐδεὶς πόνος τῇ νοερᾷ φύσει ἑκάστῳ παρεῖναι οἷς ἅπαξ ἐνεφύη δι᾽ ἀνακράσεως, μὴ συνδιασχι-
D ζομένῃ τῇ τῶν στοιχείων ἐναντιότητι· οὐ γὰρ, ἐπειδὴ κατὰ τὴν τοπικὴν διάστασιν καὶ τὴν ποιὰν ἰδιότητα πόρρωθεν ἀλλήλων ταῦτα νομίζεται, διὰ τοῦτο κάμνει ἡ ἀδιάστατος

telligitur inter unumquodque horum, quae et secundum loci positionem et qualitatum differentiam atque proprietatem inter se diversi sunt generis, quum in subiecto elementa inter se concurrerint, intelligentem hanc dimensionisque expertem naturam, quam vocamus animam, cum eo, quod est unitum, cohaerere consentaneum est: sin autem haec alterum ab altero separata atque illo redacta fuerint, quocunque natura unumquodque ducat, quidnam fiet animae, passim vehiculo eius disperso? Sicut aliquis nauta, ubi naufragio dissoluta fuerit navis, omnibus navigii partibus, aliis alibi per mare dissipatis, eodem tempore adnare non potest (omnino enim accepta ea, quae se obtulerit, reliquas fluctibus ferendas relinquet): eodem modo anima, cuius natura non ita comparata est, ut una cum separatione elementorum scindatur, siquidem a corpore liberari non potest, uni cuipiam prorsus inhaerens elemento, ab aliis avelletur, neque magis ut eam censeamus immortalem, quod in uno vivat, quam mortalem, quod non sit in pluribus, dat orationis consequentia.

MACR. At neque contrahitur, inquit, neque diffunditur id, quod in nostram intelligentiam cadit, et disiunctionis expers est (corporeum enim contrahi atque diffundi proprium est); sed aequaliter secundum suam naturam, formae expertem atque incorpoream, et elementorum in corpore coniunctioni et eorumdem disiunctioni adest, neque constrictis in concretione elementis premitur, neque ad cognita sibique naturalia reversis relinquitur, etiamsi magnum illud discrimen esse videatur, quod cernitur in elementorum diversitate (magna enim differentia est inter leve et quod sursum fertur, et grave atque terrenum, et inter calidum et frigidum, humidumque et ei contrarium); sed tamen nullus est labor intelligenti naturae unicuique adesse eorum, quibus semel mixtione inhaesit, non dissecta una cum elementorum repugnantia: non enim quia loci distantia et certa quadam proprietate procul haec inter se distare existimantur, iccirco laborat

φύσις, τοῖς τοπικῶς διεγηκόσι συναπτομένη, ἐπεὶ καὶ νῦν
199 ἔξεσι τῇ διανοίᾳ ὁμοῦ τε τὸν οὐρανὸν θεωρεῖν καὶ ἐπὶ
A τὰ πέρατα τοῦ κόσμου ταῖς πολυπραγμοσύναις ἐκτείνε-
σθαι, καὶ οὐ διασπᾶται πρὸς τοσαῦτα μήκη τὸ θεωρητι-
κὸν τῆς ψυχῆς ἡμῶν διατεινόμενον. Οὐκοῦν οὐδὲν ἐμπό-
διόν ἐστι τῇ ψυχῇ κατὰ τὸ ἴσον παρεῖναι τοῖς τοῦ σώμα-
τος στοιχείοις, καὶ συγκεκραμένοις διὰ τῆς συνδρομῆς καὶ
ἀπολυομένοις διὰ τῆς ἀνακράσεως. Καθάπερ γὰρ χρυ-
σοῦ καὶ ἀργύρου συντετηκότων ἐνθεωρεῖταί τις τεχνικὴ
δύναμις ἡ τὰς ὕλας συντήξασα, καὶ εἰ πάλιν ἀποτακείη
B τοῦ ἑτέρου τὸ ἕτερον, οὐδὲν ἐλαττον ὁ τῆς τέχνης λόγος ἐν
ἑκατέρῳ μένει, καὶ ἡ μὲν ὕλη διεμερίσθη, ἡ δὲ τέχνη οὐ
συνδιετμήθη τῇ ὕλῃ· πῶς γὰρ ἂν διαιρεθείη τὸ ἄτμητον;
κατὰ τὸν αὐτὸν λόγον καὶ ἡ νοερὰ τῆς ψυχῆς φύσις καὶ
τῇ συνδρομῇ τῶν στοιχείων ἐνθεωρεῖται καὶ διαλυθέντων
οὐκ ἀποκρίνεται, ἀλλὰ καὶ ἐν αὐτοῖς μένει καὶ τῷ χωρισ-
μῷ αὐτῶν συμπαρεκτεινομένη οὐ διακόπτεται, οὐδὲ πρὸς
τὸν ἀριθμὸν τῶν στοιχείων εἰς μέρη καὶ τμήματα κατα-
κερματίζεται· τοῦτο γὰρ ἴδιον τῆς σωματικῆς τε καὶ δια-
C στηματικῆς ἐστὶ φύσεως· ἡ δὲ νοερά τε καὶ ἀδιάστατος φύ-
σις τὰ ἐκ διαστάσεως οὐκ ἀναδέχεται πάθη. Οὐκοῦν ἔστιν
ἐν αὐτοῖς ἡ ψυχὴ, ἐν οἷς ἅπαξ ἐγένετο, οὐδεμιᾶς ἀνάγ-
κης τῆς πρὸς ἐκεῖνα συμφυΐας αὐτὴν ἀποσπώσης. Τί
οὖν τὸ σκυθρωπὸν ἐν τούτοις ἐστὶν, εἰ τοῦ ὁρωμένου τὸ
ἀειδὲς ἀνταλλάσσεται, καὶ ὑπὲρ τίνος οὕτω διαβέβληταί
σοι πρὸς τὸν θάνατον ἡ διάνοια;

ΓΡΗΓ. Ἐγὼ δὲ, ἀναλαβὼν τῇ διανοίᾳ τὸν ὁρισμὸν,
ὃν ἐν τοῖς πρὸ τούτου λόγοις περὶ τῆς ψυχῆς ἐποιήσατο,
οὐχ ἱκανῶς εἶπον ἐνδεδεῖχθαί μοι τὸν λόγον ἐκεῖνον τὰς
ἐνθεωρουμένας τῇ ψυχῇ δυνάμεις· ὃς φησι νοερὰν αὐτὴν
D εἶναι οὐσίαν, καὶ τῷ ὀργανικῷ σώματι ζωτικὴν δύναμιν
πρὸς τὴν τῶν αἰσθήσεων ἐνέργειαν ἐμποιεῖν· οὐ γὰρ μό-
νον περὶ τὴν ἐπιστημονικήν τε καὶ θεωρητικὴν διάνοιαν
ἐνεργός ἐστιν ἡμῶν ἡ ψυχὴ, ἐν τῷ νοερῷ τῆς οὐσίας τὸ
τοιοῦτον, ἐργαζομένη, οὐδὲ τὰ αἰσθητήρια μόνα πρὸς τὴν
κατὰ φύσιν ἐνέργειαν οἰκονομεῖ· ἀλλὰ πολλὴ μὲν ἡ κατ' ἐ-

natura dimensionis expers, iis, quae loco distant coniuncta, quoniam nunc quoque licet et mente simul caelum contemplari, et ad terminos mundi curiosa investigatione extendi, nec divellitur contemplativa pars animae nostrae, dum ad tantas longitudines distenditur. Ergo nihil impedit, quominus anima aequaliter adsit corporis elementis, tum per concursum commixtis, tum per separationem resolutis. Quemadmodum enim auro et argento colliquefacto vis quaedam artificiosa cernitur, quae materias eas conflavit, et si rursus per liquefactionem alterum ab altero separatum fuerit, nihilominus artis ratio in utroque manet, et materia quidem divisa, ars autem non fuit dissecta simul cum materia (quonam enim modo dividi poterit id, quod est individuum?): eadem ratione ea quoque, quae mente percipitur, animae natura, et in concursu elementorum cernitur, iisque resolutis non secernitur, sed etiam manet in iis et una cum separatione eorum extensa non interrumpitur, neque pro numero elementorum in partes et frusta conciditur (id enim corporeae naturae et quae intervalli suscipit dimensionem, proprium est); intelligens autem et dimensionis expers natura ea, quae ex distantia eveniunt, non suscipit. Est ergo in iis anima, in quibus semel fuit, nulla necessitate a cohaerentia, quae cum iis fuit, eam avellente. Quid est ergo in his triste, si cum visibili commutatur id, quod non videtur, et qua de causa mens tua morti adeo infensa est?

GREG. Ego vero, animo repetens definitionem, quam in superiori sermone de anima fecerat, non satis dixi demonstratas mihi esse vires, quae in anima considerantur, oratione illa, quae dicat eam esse intelligentem essentiam, et organico corpori vitalem vim ad sensuum operationem ingenerare: nam non solum in ea mentis agitatione, qua scientiam percipimus et contemplamur, operatur nostra anima, in essentiae intelligenti facultate id agens, neque sensuum instrumenta sola ad operationem naturae convenientem administrat: sed multus cupiditatis, multus etiam iracundiae motus cernitur

200 πιθυμίαν, πολλὴ δὲ καὶ ἡ κατὰ θυμὸν κίνησις ἐνθεωρεῖ-
A ται τῇ φύσει, ἑκατέρου δὲ τούτων γενικῶς ἡμῖν ἐνυπάρ-
χοντος εἰς πολλάς τε καὶ ποικίλας διαφορὰς ὁρῶμεν προ-
ϊοῦσαν ταῖς ἐνεργείαις ἀμφοτέρων τὴν κίνησιν· πολλὰ μὲν
γὰρ ἔχειν ἰδεῖν, ὧν τὸ ἐπιθυμητικὸν καθηγεῖται, πολλὰ
δὲ πάλιν, ἃ τῆς θυμοειδοῦς αἰτίας ἐκφύεται, καὶ οὐδὲν
τούτων σῶμά ἐχειν, τὸ δὲ ἀσώματον νοερὸν πάντως· νοε-
ρὸν δέ τι χρῆμα τὴν ψυχὴν ὁ ὁρισμὸς ἀπεφήνατο, ὥστε
δυοῖν ἀτόποιν τὸ ἕτερον ἐκ τῆς ἀκολουθίας ἀνακύπτειν
τοῦ λόγου ἢ καὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἄλλας ἐν
B ἡμῖν εἶναι ψυχὰς, καὶ πλῆθος ψυχῶν ἀντὶ μιᾶς καθορᾶ-
σθαι, ἢ μηδὲ τὸ διανοητικὸν τὸ ἐν ἡμῖν ψυχὴν οἴεσθαι·
τὸ γὰρ νοερὸν ἐπ᾽ ἴσης πᾶσιν ἐφαρμοζόμενον ἢ πάντα
ψυχὰς ἀποδείξει ταῦτα, ἢ ἕκαστον τούτων ἐκ τοῦ ἴσου τοῦ
ἰδιώματος τῆς ψυχῆς ἐξαιρήσει.

ΜΑΚΡ. Ἡ δέ· Πολλοῖς, φησὶν, ἤδη καὶ ἄλλοις ἐζη-
τημένον τὸν λόγον τοῦτον ἀκολούθως καὶ αὐτὸς ἐπεζήτη-
σας, ὅ τί ποτε χρὴ ταῦτα νομίζειν εἶναι, τὸ ἐπιθυμητι-
κόν τε καὶ θυμοειδὲς, εἴτε συνουσιωμένα τῇ ψυχῇ, καὶ
παρὰ τὴν πρώτην εὐθὺς τῇ κατασκευῇ συνυπάρχοντα, εἴτε
C τι ἄλλο παρ᾽ αὐτὴν ὄντα, καὶ ὕστερον ἡμῖν ἐπιγινόμενα·
τὸ μὲν γὰρ ἐνορᾶσθαι τῇ ψυχῇ ταῦτα παρὰ πάντων ἐπ᾽ ἴ-
σης ὁμολογεῖται· τὸ δὲ ὅ τι χρὴ περὶ αὐτῶν οἴεσθαι,
οὔπω δι᾽ ἀκριβείας εὗρεν ὁ λόγος, ὥστε βεβαίαν τὴν πε-
ρὶ τούτων ὑπόληψιν ἔχειν, ἀλλ᾽ ἔτι πεπλανημέναις οἱ πολ-
λοὶ καὶ διαφόροις ταῖς περὶ τούτων δόξαις ἐπιδιςάζουσιν.
Ἡμῖν δὲ εἰ μὲν ἱκανὴ πρὸς ἀπόδειξιν ἀληθείας ἦν ἡ ἔξω
φιλοσοφία ἡ τεχνικῶς περὶ τούτων διαλαβοῦσα, περιττὸν
ἂν ἦν ἴσως τὸν περὶ ψυχῆς λόγον προτιθέναι τῷ σκέμματι.
Ἐπεὶ δὲ τοῖς μὲν κατὰ τὸ φανὲν ἀκόλουθον κατ᾽ ἐξουσίαν
D προῆλθεν ἡ περὶ ψυχῆς θεωρία, ἡμεῖς δὲ τῆς ἐξουσίας
ἄμοιροι ταύτης ἐσμὲν, τῆς τοῦ λέγειν, φημὶ, ἅπερ βου-
201 λόμεθα, κανόνι παντὸς δόγματος καὶ νόμῳ κεχρημένοι τῇ
A ἁγίᾳ γραφῇ, ἀναγκαίως πρὸς ταύτην βλέποντες τοῦτο δε-
χόμεθα μόνον, ὅ τί περ ἂν συμφωνοῦν τῷ τῶν γεγραμμέ-
νων σκοπῷ. Οὐκοῦν παρέντες τὸ Πλατωνικὸν ἅρμα καὶ

in natura: quum autem horum utrumque generaliter nobis insit, in multas ac varias differentias operationibus amborum progredi motum videmus: nam multa quidem videri possunt, quorum dux est pars ad cupiditates propensa, multa autem rursus ex vi irascendi nascuntur, nihilque horum est corpus, incorporeum autem omnino intelligens est: intelligentem autem quandam rem animam definitio declaravit, ut duorum absurdorum alterum ex consequentia orationis emergat, aut iracundia et cupiditas aliae in nobis sint animae, et multitudo animarum pro una conspiciatur, aut ne cogitandi quidem vis, quae in nobis est, anima esse putetur: illud enim intelligens aequaliter omnibus accomodatum, aut omnia haec animas esse demonstrabit, aut unumquodque horum ex aequo ab animi proprietate eximet.

GREG. Illa autem: Rem, inquit, hanc iam a multis etiam aliis quaesitam consequenter ipse quoque inquisivisti, quidnam tandem haec esse opporteat existimare, τὸ ἐπιθυμητικόν, id est ad cupiditates propensum, et τὸ θυμοειδές, id est iracundum, sive insita sunt in animae essentia et ab initio statim una cum constitutione exsistunt, sive aliquid aliud praeter ipsam sunt et posterius nobis accedunt? nam haec quidem in anima cerni ex aequo constat inter omnes: quid autem de iis existimare oporteat, nondum accurate invenit ratio, ut firmam de his haberet opinionem, sed vulgus etiam nunc vagis atque diversis opinionibus de his ambigit. Nobis autem, si ad probandam quidem veritatem sufficeret externa philosophia, quae de his rebus artificiose tractavit, supervacaneum sine dubio esset, de anima disputationem proponere considerandam. Sed quoniam illis quidem, prout visum est consequens, libere processit animae commentatio, nos autem huius licentiae expertes sumus, dicendi, inquam, quae volumus, regula cuiusvis dogmatis et lege utentes sancta scriptura: necessario ad hanc respicientes, hoc solum probamus, quod convenerit cum literarum sacrarum proposito. Praetermisso igitur Platonico curru eique subiunctis biiugis equorum, pullis, non eodem inter se

τὴν ὑπεζευγμένην αὐτῷ ξυνωρίδα τῶν πώλων, οὐχ ὁμοίως ταῖς ὁρμαῖς πρὸς ἀλλήλους ἐχόντων, καὶ τὸν ὑπὲρ τούτων ἡνίοχον, δι' ὧν ἁπάντων τὰ τοιαῦτα περὶ ψυχῆς φιλοσοφεῖ δι' αἰνίγματος· ὅσα τε αὖ ὁ μετ' ἐκεῖνον φιλόσοφος ὁ τεχνικῶς τοῖς φαινομένοις ἀκολουθῶν, καὶ τὰ νῦν ἡμῖν προκείμενα δι' ἐπιμελείας κατεξετάζων, θνητὴν εἶναι διὰ τούτων τὴν ψυχὴν ἀπεφήνατο, καὶ πάντας τούς τε πρὸ τούτων
B καὶ τοὺς ἐφεξῆς, τούς τε καταλογάδην καὶ τοὺς ἐν ῥυθμῷ τινὶ καὶ μέτρῳ φιλοσοφήσαντας καταλιπόντες, σκοπὸν τοῦ λόγου τὴν θεόπνευστον γραφὴν ποιησόμεθα, ἣ μηδὲν ψυχῆς ἐξαίρετον νομίζειν εἶναι νομοθετεῖ, ὃ μὴ καὶ τῆς θείας φύσεώς ἐστιν ἴδιον. Ὁ γὰρ ὁμοίωμα θεοῦ τὴν ψυχὴν εἶναι φήσας πᾶν, ὃ ἀλλότριόν ἐστι θεοῦ, ἐκτὸς εἶναι τοῦ ὅρου τῆς ψυχῆς ἀπεφήνατο· οὐδὲ γὰρ ἂν ἐν τοῖς παρηλλαγμένοις διασωθείη τὸ ὅμοιον. Οὐκοῦν ἐπειδὴ τοιοῦτον οὐδὲν τῇ θείᾳ συνθεωρεῖται φύσει, οὐδὲ τῇ ψυχῇ συνουσιῶσθαι ταῦτα κατὰ λόγον ἄν τις ὑπονοήσειεν. Τὸ μὲν οὖν κατὰ τὴν
C διαλεκτικὴν τέχνην διὰ συλλογισικῆς τε καὶ ἀναλυτικῆς ἐπιστήμης βεβαιοῦσθαι καὶ τὰ ἡμέτερα δόγματα, ὡς σαθρόν τε καὶ ὕποπτον εἰς ἀπόδειξιν ἀληθείας τὸ τοιοῦτον εἶδος τοῦ λόγου παραιτησόμεθα· πᾶσι γάρ ἐστι πρόδηλον τὸ τὴν διαλεκτικὴν περιεργίαν ἴσην ἐφ' ἑκάτερα τὴν ἰσχὺν ἔχειν, πρός τε τὴν τῆς ἀληθείας ἀνατροπὴν καὶ πρὸς τὴν τοῦ ψεύδους κατηγορίαν. Ὅθεν καὶ αὐτὴν τὴν ἀλήθειαν, ὅταν μετά τι-
D νος τοιαύτης τέχνης προάγηται, δι' ὑποψίας πολλάκις ποιούμεθα, ὡς τῆς περὶ ταῦτα δεινότητος παρακρουομένης ἡμῶν τὴν διάνοιαν καὶ τῆς ἀληθείας ἀποσφαλλούσης. Εἰ δέ τις τὸν ἀκατάσκευόν τε καὶ γυμνὸν πάσης περιβολῆς προσίοιτο λόγον, ἐροῦμεν, ὡς ἂν οἷόν τε ᾖ, κατὰ τὸν εἱρμὸν τῆς γραφικῆς ὑφηγήσεως τὴν περὶ τούτων θεωρίαν προσάγοντες. Τί οὖν ἔστιν ὃ φαμεν; Τὸ λογικὸν τοῦτο
202 ζῶον, ὁ ἄνθρωπος, νοῦ τε καὶ ἐπιστήμης δεκτικὸν εἶναι καὶ
A παρὰ τῶν ἔξω τοῦ λόγου τοῦ καθ' ἡμᾶς μεμαρτύρηται, οὐκ ἂν οὕτω τοῦ ὁρισμοῦ τὴν φύσιν ἡμῶν ὑπογράφοντος, εἴπερ ἐνεώρα θυμόν τε καὶ ἐπιθυμίαν, καὶ τὰ τοιαῦτα πάντα συνουσιώμενα τῇ φύσει· οὐδὲ γὰρ ἐπ' ἄλλου τινὸς ὅρον

impetu praeditis, iisque praefecto aurigae, quibus omnibus per aenigma sic de anima philosophatur: et quae rursus qui post eum fuit philosophus, qui artificiose sequens ea, quae apparent, et quae nunc nobis proposita sunt, diligenter examinans, mortalem esse per haec animam pronuntiavit, omnibusque iis, qui et ante et post hos fuerunt et quia soluta oratione et qui numero quodam atque mensura sunt philosophati, relictis, orationis scopum nobis proponemus literas divinitus proditas, quae statuunt, ut nihil in anima esse putemus eximium, quod non etiam divinae naturae proprium sit. Qui enim similitudinem dei animam esse dixit, quicquid a deo alienum est, extra definitionem animae esse declaravit; neque enim simile in differentibus servaretur. Quoniam ergo eiusmodi nihil cum divina cernitur natura, ne in animae quidem essentia haec constitisse recte quis existimaverit. Jam vero dialectica quidem arte per syllogisticam et analyticam scientiam nostra quoque dogmata confirmare, tanquam imbecillam ac suspectam ad demonstrandam veritatem eiusmodi orationis speciem recusabimus; patet enim omnibus dialecticam curiositatem pares ad utrumque vires habere, et ad veritatem evertendam et ad mendacium convincendum. Unde et ipsam veritatem, ubi adhibita quadam huiusmodi arte profertur, suspectam saepe habemus, quasi harum rerum peritia mentem nostram seducat, et a veritate aberrantem faciat. Si quis autem inconditam et omni velamine nudam admittat orationem, dicemus, ut fieri poterit, iuxta seriem narrationis, quae inest literis sacris, commentationem de his rebus adducentes. Quid est ergo, quod dicimus? Hoc rationis particeps animal, hominem, intelligentiae atque scientiae capacem esse, vel eorum, qui a ratione nostrae fidei alieni sunt, testimonio comprobatum est, quippe non sic definitio naturam nostram descripsisset, siquidem videret et iracundiam et cupiditatem, et huiusmodi omnia simul fuisse indita in essentiam naturae; neque enim in ullo alio quis dederit subiecti definitionem, loco proprii commune dicens

ἄν τις ἀποδοίη τοῦ ὑποκειμένου, τὸ κοινὸν ἀντὶ τοῦ ἰδίου λέγων. Ἐπεὶ οὖν τὸ ἐπιθυμητικόν τε καὶ θυμοειδὲς κατὰ τὸ ἴσον καὶ ἐπὶ τῆς ἀλόγου τε καὶ λογικῆς φύσεως καθορᾶται, οὐκ ἄν τις εὐλόγως ἐκ τοῦ κοινοῦ χαρακτηρίζοι τὸ
B ἴδιον. Ὃ δὲ πρὸς τὴν τῆς φύσεως ὑπογραφὴν περιττόν ἐστιν καὶ ἀπόβλητον, πῶς ἔχει ὡς μέρος τῆς φύσεως ἐπ' ἀνατροπῇ τοῦ ὅρου τὴν ἰσχὺν ἔχειν; πᾶς γὰρ ὁρισμὸς οὐσίας πρὸς τὸ ἴδιον τοῦ ὑποκειμένου βλέπει. Ὅ τι δ' ἂν ἔξω τοῦ ἰδιάζοντος ᾖ, ὡς ἀλλότριον παρορᾶται τοῦ ὅρου. Ἀλλὰ μὴν ἡ κατὰ θυμόν τε καὶ ἐπιθυμίαν ἐνέργεια κοινὴ πάσης εἶναι τῆς ἀλόγου φύσεως ὁμολογεῖται. Πᾶν δὲ τὸ κοινὸν οὐ ταὐτόν ἐστιν τῷ ἰδιάζοντι. Ἀνάγκη ἄρα διὰ τούτων ἐστὶν, μὴ ἐν τούτοις εἶναι ταῦτα λογίζεσθαι, ἐν οἷς κατεξαίρετον ἡ ἀνθρωπίνη χαρακτηρίζεται φύσις· ἀλλ' ὥσπερ τὸ αἰσθητικὸν καὶ τὸ θρεπτικὸν καὶ τὸ αὐξητικὸν ἐν ἡμῖν τις ἰδὼν οὐκ ἀναλύει διὰ τούτων τὸν ἀποδοθέντα περὶ τῆς
C ψυχῆς ὅρον· οὐ γὰρ ἐπειδὴ τοῦτο ἔχειν ἐν τῇ ψυχῇ, ἐκεῖνο οὐκ ἔχειν· οὕτως καὶ τὰ περὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν κατανοήσας τῆς φύσεως ἡμῶν κινήματα, οὐκ ἄν εὐλόγως τῷ ὅρῳ μάχοιτο, ὡς ἐλλιπῶς ἐνδειξαμένῳ τὴν φύσιν.

ΓΡΗΓ. Τί οὖν χρὴ περὶ τούτων γινώσκειν, εἶπον πρὸς τὴν διδάσκαλον; οὕτω γὰρ οἷός τε εἰμι κατιδεῖν ὅπως προσήκει τὰ ἐν ἡμῖν ὄντα, ὡς ἀλλότρια τῆς φύσεως ἡμῶν ἀποποιεῖσθαι;

ΜΑΚΡ. Ὁρᾷς, φησὶν, ὅτι μάχη τίς ἐστι τοῦ λογισμοῦ πρὸς ταῦτα καὶ σπουδὴ τοῦ μονωθῆναι τὴν ψυχὴν τούτων, ὡς ἂν οἷόν τε ᾖ; Καί εἰσί γέ τινες οἷς κατώρθωται ἡ
D σπουδὴ, καθάπερ ἐπὶ τοῦ Μωϋσέως ἀκούομεν, ὅτι κρείττων ἦν θυμοῦ τε καὶ ἐπιθυμίας ἐκεῖνος, ἀμφότερα μαρτυ-
203 ρούσης αὐτῷ τῆς ἱστορίας, ὅτι τε πρᾶος ἦν παρὰ πάντας
A ἀνθρώπους· ἐνδείκνυται δὲ τὸ ἀόργητον διὰ τοῦ πράου καὶ τὴν πρὸς τὸν θυμὸν ἀλλοτρίωσιν· καὶ ὅτι οὐκ ἐπεθύμησε τούτων τινὸς, περὶ ἃ ὁρῶμεν ἐν τοῖς πολλοῖς τὸ ἐπιθυμητικὸν ἐνεργούμενον, ὅπερ οὐκ ἂν ἐγένετο, εἰ φύσις ἦν ταῦτα καὶ εἰς τὸν λόγον τῆς οὐσίας ἀνήγετο· οὐ γάρ ἐστι δυνατὸν τὸν ἔξω γεγονότα τῆς φύσεως ἐν τῷ εἶναι μένειν. Ἀλ-

Quoniam igitur et ad cupiditates propensum et iracundum aequaliter quoque tam in rationis experte, quam rationis participe cernitur natura, non rationi convenienter quis ex communi proprium designaverit. Quod autem ad naturae descriptionem supervacaneum est ac reiiciendum, qui fieri potest, ut tanquam pars naturae ad evasionem definitionis valeat? omnis enim definitio essentiae spectat ad id, quod proprium est subiecti. Quicquid autem fuerit extra id, quod proprium est, tanquam alienum a definitione despicitur. Atqui operationem ex ira et cupiditate exortam cuivis naturae ratione carenti communem esse constat. Quicquid autem commune est, non est idem, quod proprium. Per haec ergo necesse est haec non in iis esse existimari, in quibus praecipue designatur humana natura; sed quemadmodum, si quis sentiendi, nutriendi et augendi vim in nobis conspicatus fuerit, per haec non resolvit traditam animae definitionem (non enim quoniam hoc est in anima, illud non est): ita etiam, si quis naturae nostrae ex iracundia et cupiditate motus animadverterit, definitioni non iure repugnaverit, ut quae minus, quam par sit, naturam ostenderit.

GREG. Quid igitur, inquam ad magistram, de his statuere oportet? nondum enim videre possum, quo pacto ea, quae in nobis sunt, tanquam aliena a natura nostra abdicare conveniat.

MACR. Vides, inquit, pugnam quandam rationis adversus haec esse, et studium animam ab his separandi, quoad eius fieri possit. Sunt sane nonnulli, quibus hoc studium prospere successit, quemadmodum Moysen audimus ira et cupiditate superiorem fuisse, utriusque rei testimonium ei perhibente historia, eum fuisse et omnium hominum mitissimum (irae autem non esse obnoxium indicatur per mansuetudinem et ab ira alienationem), neque concupiisse quicquam eorum, in quibus plerumque vim concupiscendi occupatam videmus, quod quidem non fieret, si haec essent natura et ad rationem essentiae referrentur: fieri enim non potest, ut, qui fuerit extra naturam, in essentia maneat. Atqui Moyses et in essentia erat, et in his non erat. Aliud ergo

λὰ μὴν ὁ Μωϋσῆς καὶ ἐν τῷ εἶναι ἦν, καὶ ἐν τούτοις οὐκ
ἦν. Ἄλλο τι ἄρα παρὰ τὴν φύσιν ἐσὶ ταῦτα, καὶ οὐχὶ φύ-
σις· ἡ γὰρ ἀληθῶς φύσις τοῦτό ἐσιν, ἐν ᾧ τὸ εἶναι τῆς
οὐσίας καταλαμβάνεται· τούτων δὲ ἡ ἀλλοτρίωσις ἐφ' ἡ-
μῖν κεῖται, ὡς μὴ μόνον ἀζήμιον, ἀλλὰ καὶ ἐπικερδὲς εἶναι
B τῇ φύσει τὸν ἀφανισμὸν τῶν τοιούτων. Δῆλον οὖν ὅτι τῶν
ἔξωθεν ἐπιθεωρουμένων ἐσὶ ταῦτα, πάθη τῆς φύσεως ὄν-
τα καὶ οὐκ οὐσία· ἡ μὲν γάρ ἐσιν ὅπερ ἐσίν. Θυμὸν δὲ ζέ-
σιν εἶναι τοῦ περικαρδίου αἵματος τοῖς πολλοῖς δοκεῖ, ἑ-
τέροις δὲ ὄρεξιν τοῦ ἀντιλυπῆσαι τὸν προκατάρξαντα. Ὡς
δ' ἂν ἡμεῖς ὑπολάβοιμεν, θυμός ἐσιν ὁρμὴ τοῦ κακῶσαι
τὸν παροξύναντα. Ὧν οὐδὲν τῷ περὶ ψυχῆς ὅρῳ συμβαί-
νει. Κἂν τὴν ἐπιθυμίαν ἐφ' ἑαυτῆς ὁρισώμεθα, ἔφεσιν
λέξομεν τοῦ ἐνδέοντος, ἢ πόθον τῆς καθ' ἡδονὴν ἀπολαύ-
C σεως, ἢ λύπην ἐπὶ τῷ μὴ κατ' ἐξουσίαν ὄντι καταθυμίῳ,
ἤ τινα πρὸς τὸ ἡδὺ σχέσιν, οὗ μὴ πάρεσιν ἡ ἀπόλαυσις·
ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα τὴν μὲν ἐπιθυμίαν ἐνδεί-
κνυται, τοῦ δὲ ὁρισμοῦ τοῦ περὶ ψυχῆς οὐ προσάπτεται·
ἀλλὰ καὶ ὅσα ἄλλα περὶ τὴν ψυχὴν καθορᾶται, τὰ ἐξ ἀντι-
θέτου ἀλλήλοις ὁρώμενα, οἷον δειλία καὶ θράσος, λύπη
καὶ ἡδονή, φόβος καὶ καταφρόνησις, καὶ ὅσα τοιαῦτα, ὧν
ἕκαζον συγγενῶς μὲν ἔχειν δοκεῖ πρὸς τὸ ἐπιθυμητικόν τε
καὶ θυμοειδές, ἰδιάζοντι δὲ ὅρῳ τὴν ἰδίαν ὑπογράφει φύ-
D σιν. Τό τε γὰρ θράσος καὶ ἡ καταφρόνησις ἔμφασιν ὑπο-
σημαίνει τινὰ τῆς θυμοειδους ὁρμῆς, ἐλάττωσιν δέ τινα καὶ
ὕφεσιν τοῦ αὐτοῦ τούτου ἡ κατὰ δειλίαν καὶ φόβον ἐγγινο-
μένη σχέσις· ἡ δὲ λύπη ἐξ ἀμφοτέρων ἔχει τὰς ὕλας· ἥ τε
204 γὰρ τοῦ θυμοῦ ἀτονία ἐν τῇ τοῦ ἀμύνασθαι τοὺς προλε-
A λυπηκότας ἀδυναμίᾳ λύπη γίνεται, καὶ ἡ ἀπόγνωσις τῶν
ἐπιθυμουμένων, καὶ ἡ ςέρησις τῶν καταθυμίων τὴν σκυ-
θρωπὴν ταύτην ἐμποιεῖ τῇ διανοίᾳ διάθεσιν. Καὶ τὸ
ἀντιθεωρούμενον τῇ λύπῃ, τὸ καθ' ἡδονὴν λέγω νόημα,
ὁμοίως τῷ θυμῷ τε καὶ τῇ ἐπιθυμίᾳ ἐπιμερίζεται· ἡδονὴ
γὰρ ἑκατέρου τούτων κατὰ τὸ ἴσον ἡγεμονεύει· ἅπερ πάντα
καὶ περὶ τὴν ψυχὴν ἔσι καὶ ψυχὴ οὐκ ἔσιν· ἀλλ' οἷον μυρ-
μηκίαι τινὲς τοῦ διανοητικοῦ μέρους τῆς ψυχῆς ἐκφυόμεναι

quippiam, atque natura haec sunt, et non natura: id enim vere est natura, in quo ipsum esse essentiae deprehenditur; horum autem alienatio in nobis sita est, ut non solum non noceat, sed etiam lucrum afferat naturae, si ea auferantur. Palam est ergo, haec esse ex iis, quae extrinsecus considerantur, ut quae sint affectiones naturae, et non essentia: nam haec quidem est, quod est. Iracundia autem fervor esse sanguinis, qui circa cor est, vulgo videtur; aliis vero appetitio molestiae reddendae ei, a quo ante laesus sis. Sed, ut nos arbitramur, iracundia est appetitio nocendi ei, qui irritavit. Quorum nihil convenit definitioni animae. Et si cupiditatem per se definierimus, appetitionem esse dicemus eius, quod deest, aut desiderium fruendae voluptatis, aut dolorem propter id, quod non potimur eo, quod gratum est animo, aut quandam habitudinem ad id, quod iucundum est, et quo frui non licet: haec enim omnia, et quae sunt huiusmodi, cupiditatem quidem ostendunt, ad definitionem autem animae non pertinent: quin etiam quaecunque alia in anima considerantur, quae sibi invicem ex adverso posita videntur, veluti timiditas et audacia, dolor et voluptas, metus et contemptus, et quaecunque talia sunt, quorum unumquodque cognatum esse videatur cum eo, quod ad cupiditatem est propensum et iracundum, peculari autem definitione suam describit naturam. Nam et audacia et contemptio demonstrationem quandam indicat appetitionis ad iram propensae, deminutionem vero quandam et remissionem huius eiusdem is, qui timiditate et metu ingeneratur, habitus; dolor autem ex utroque habet materias: nam et irae imbecillitas, dum non potest quis ulcisci eos, a quibus ante laesus est, dolor exsistit, et desperatio eorum, quae concupiscuntur, privatioque eorum, quae grata sunt animo, tristem hanc menti affectionem ingenerat. Et id, quod contrarium dolori consideratur, voluptatis sensum dico, similiter et iracundia et cupiditate dividitur: voluptas enim utriusque horum ex aequo principatum tenet: quae quidem omnia et circa animam sunt, et anima non sunt; sed veluti verrucae quaedam ex ea animae parte, quae in-

B "Α μέρη μὲν αὐτῆς εἶναι διὰ τὸ προσπεφυκέναι νομίζεται, οὐ μὴν ἐκεῖνό εἰσιν, ὅπερ ἐστὶν ἡ ψυχὴ κατ' οὐσίαν.

ΓΡΗΓ. Καὶ μὴν ὁρῶμεν, φημὶ πρὸς τὴν παρθένον, σὺ μικρὰν ἐκ τούτων γινομένην τὴν πρὸς τὸ κρεῖττον συνεισφορὰν τοῖς ἐναρέτοις· τῷ τε γὰρ Δανιὴλ ἔπαινος ἦν ἡ ἐπιθυμία καὶ ὁ Φινεὲς τῷ θυμῷ τὸν θεὸν ἱλεώσατο· καὶ ἀρχὴν σοφίας φόβον ἐμάθομεν, καὶ τῆς κατὰ θεὸν λύπης σωτηρίαν εἶναι τὸ πέρας παρὰ τοῦ Παύλου ἠκούσαμεν, τῶν τε δεινῶν τὴν καταφρόνησιν νομοθετεῖ ἡμῖν τὸ εὐαγγέλιον, καὶ τὸ μὴ φοβεῖσθαι πτόησιν οὐδὲν ἄλλο ἢ τοῦ θράσους ἐστὶν ὑπογραφή, ὅπερ ἐν ἀγαθοῖς ὑπὸ τῆς σοφίας κα-
C τείληκται. Δείκνυσι τοίνυν διὰ τούτων ὁ λόγος τὸ μὴ πάθη τὰ τοιαῦτα δεῖν οἴεσθαι· οὐ γὰρ ἂν πρὸς ἀρετῆς κατόρθωσιν συμπαραληφθείη τὰ πάθη.

ΜΑΚΡ. Καὶ ἡ διδάσκαλος· Ἔοικα, φησὶ, τῆς τοιαύτης τῶν λογισμῶν συγχύσεως αὐτὴ τὴν αἰτίαν παρέχειν, μὴ διακρίνασα τὸν περὶ τούτου λόγον, ὥστε τινὰ τάξιν ἀκόλουθον ἐπιτεθῆναι τῇ θεωρίᾳ. Νῦν οὖν, ὅπως ἂν οἷόν τε ᾖ, ἐπινοηθήσεταί τις τάξις τῷ σκέμματι, ὡς ἂν δι' ἀκολούθου προϊούσης τῆς θεωρίας μηκέθ' ἡμῖν αἱ τοιαῦται τῶν ἀντιθέσεων ἔχοιεν χώραν· φαμὲν γὰρ τῆς ψυχῆς τὴν
D μὲν θεωρητικήν τε καὶ διακριτικὴν καὶ τῶν ὄντων ἐποπτικὴν δύναμιν οἰκείαν εἶναι καὶ κατὰ φύσιν αὐτῇ καὶ τῆς θεοειδοῦς χάριτος διὰ τούτων σώζειν ἐν ἑαυτῇ τὴν εἰκόνα. Ἐπεὶ καὶ τὸ θεῖον, ὅ τί ποτε κατὰ τὴν φύσιν ἐστὶν, ἐν τούτοις ὁ λογισμὸς εἶναι ζοχάζεται, ἐν τῷ ἐφορᾶν τε τὰ πάν-
205 τα καὶ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος· ὅσα δὲ τῆς
A ψυχῆς ἐν μεθορίῳ κεῖται πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιῤῥεπῶς κατὰ τὴν ἰδίαν ἔχοντα φύσιν, ὧν ἡ ποιὰ χρῆσις ἢ πρὸς τὸ καλὸν ἢ πρὸς τὸ ἐναντίον ἄγει τὴν ἔκβασιν, οἷον τὸν θυμὸν ἢ τὸν φόβον, ἢ εἴ τι τοιοῦτον τῶν ἐν τῇ ψυχῇ κινημάτων ἐστὶν, ὧν ἄνευ οὐκ ἔστιν ἀνθρωπίνην θεωρηθῆναι φύσιν· ταῦτα ἔξωθεν ἐπιγεγενῆσθαι αὐτῇ λογιζόμεθα διὰ τὸ τῷ ἀρχετύπῳ κάλλει μηδένα τοιοῦτον ἐνθεωρηθῆναι χαρακτῆρα. Ὁ δὲ δὴ περὶ τούτων λόγος ἡμῖν τέως ὡς ἐν

telligentiae vi praedita est, enascentes. Quae partes quidem ipsius esse, eo quod agnatae sint, existimantur; non tamen id sunt, quod est anima ex essentia.

GREG. Atqui videmus, inquam ad virginem, haec hominibus virtute praeditis non parum conferre ad id, quod est melius: nam et Danieli laudi erat cupiditas, et Phinees ira deum placavit, et initium sapientiae timorem esse didicimus, et quae est secundum deum, tristitiae salutem esse finem a Paulo audivimus, eorumque, quae sunt gravia, contemptionem lege nobis praecipit evangelium, et non terreri pavore nihil est aliud, quam audaciae descriptio, quod quidem inter bona relatum fuit a sapientia. Ostendunt igitur per haec literae sacrae ea non esse existimanda animi perturbationes: non enim ad virtutis rectam affectionem animi perturbationes una adhibitae essent.

MACR. Et magistra: Patet, inquit, me ipsam huius rationum confusionis causam praebuisse, quum, quod de hac re dicebatur, non distinxerim, ut contemplationi imponeretur ordo quidam consequens. Nunc igitur, quoad eius fieri poterit, excogitabitur ordo quidam considerationi, ut congruenter procedente contemplatione eiusmodi obiectiones locum non amplius habeant: dicimus enim animae quidem et contemplandi, et discernendi, et ea, quae sunt, speculandi facultatem esse ei propriam naturaeque convenientem, et divinae gratiae per haec illam in se imaginem servare. Quoniam et divinum, quodcunque secundum naturam est, in his esse coniectat ratio, et in speculando omnia et in discernendo bonum a malo; quaecunque autem in animae confinio posita sunt ad alterutrum ex contrariis secundum suam naturam propensa, quorum certus quidam usus vel ad id, quod bonum est, vel ad contrarium ducit eventum, cuiusmodi est ira vel metus, vel si quid tale est ex animi motibus, sine quibus humana natura considerari non potest: haec extrinsecus ei accessisse existimamus, propterea quod in exemplari pulchritudine nullum tale cernatur signum. Jam vero

Β γυμνασίῳ προκείσθω, ὡς ἂν διαφύγοι τῶν συκοφαντικῶς
ἀκουόντων τῆς ἐπηρείας. Ὅδῳ τινὶ καὶ τάξεως ἀκολου-
θίᾳ πρὸς τὴν ἀνθρωποποιΐαν ὁρμῆσαι τὸ θεῖον διεγεῖται
ὁ λόγος· ἐπειδὴ γὰρ συνέζη τὸ πᾶν, καθὼς ἡ ἱστορία φη-
σὶν, οὐκ εὐθὺς δὲ ὁ ἄνθρωπος ἐν τῇ γῇ γίνεται, ἀλλὰ
τούτου μὲν ἡ τῶν ἀλόγων προηγήσατο φύσις, ἐκείνων δὲ
τὰ βλαστήματα. Δείκνυσιν, οἶμαι, διὰ τούτων ὁ λόγος,
ὅτι ἡ ζωτικὴ δύναμις ἀκολουθίᾳ τινὶ τῇ σωματικῇ κατα-
C μίγνυται φύσει, πρῶτον μὲν τοῖς ἀναισθήτοις ἐνδύνουσα,
μετὰ τοῦτο δὲ ἐπὶ τὸ αἰσθητικὸν προϊοῦσα· εἶθ' οὕτως
πρὸς τὸ νοερόν τε καὶ λογικὸν ἀναβαίνουσα. Οὐκοῦν τῶν
ὄντων τὸ μὲν σωματικῶν, τὸ δὲ νοερόν ἐστι πάντως. Τοῦ
δὲ σωματικοῦ τὸ μὲν ἄψυχόν ἐστι, τὸ δὲ ἔμψυχον. Ἔμ-
ψυχον δὲ λέγω τὸ μετέχον ζωῆς. Τῶν δὲ ζώντων τὰ μὲν
αἰσθήσει συζῇ, τὰ δὲ ἀμοιρεῖ ταύτης. Πάλιν τῶν αἰσθη-
τικῶν τὰ μὲν λογικά ἐστιν, τὰ δὲ ἄλογα. Ἐπεὶ οὖν ἡ αἰ-
σθητικὴ ζωὴ οὐκ ἂν δίχα τῆς ὕλης συσταίη, οὐδ' ἂν τὸ
D νοερὸν ἄλλως ἐν σώματι γένοιτο, μὴ τῷ αἰσθητικῷ ἐμφυ-
όμενον· τούτου χάριν τελευταία ἡ τοῦ ἀνθρώπου κατα-
σκευὴ ἱστορεῖται, ὡς πᾶσαν ἐμπεριειληφότος τὴν ζωτικὴν
ἰδέαν, τήν τε ἐν τοῖς βλαστήμασι καὶ ἐν τοῖς ἀλόγοις θεω-
ρουμένην· τὸ μὲν γὰρ τρέφεσθαί τε καὶ αὔξεσθαι ἐκ τῆς
φυτικῆς ἔχει ζωῆς· ἔστι γὰρ τὸ τοιοῦτον καὶ ἐν ἐκείνοις
ἰδεῖν, ἑλκομένης τε διὰ ῥιζῶν τῆς τροφῆς καὶ ἀποποιου-
μένης διὰ καρπῶν τε καὶ φύλλων· τὸ δὲ κατ' αἴσθησιν
206 οἰκονομεῖσθαι ἐκ τῶν ἀλόγων ἔχει. Τὸ δὲ διανοητικόν
A τε καὶ λογικὸν ἄμικτόν ἐστι καὶ ἰδιάζον ἐπὶ ταύτης τῆς
φύσεως, ἐφ' ἑαυτοῦ θεωρούμενον. Ἀλλ' ὥσπερ τὸ ἐφελ-
κτικὸν τῶν ἀναγκαίων πρὸς τὴν ὑλικὴν ζωὴν ἡ φύσις ἔχει,
ὅπερ ἐν ἡμῖν γενόμενον ὄρεξις λέγεται· τοῦτο δὲ φαμὲν
τοῦ φυτικοῦ τῆς ζωῆς εἶδους εἶναι, ἐπειδὴ καὶ ἐν ἐκεί-
νοις ἔστιν ἰδεῖν οἷόν τινας ὁρμὰς φυσικῶς ἐνεργουμένας ἐν
τῷ πληροῦσθαί τε τοῦ οἰκείου καὶ ὀργᾷν πρὸς τὴν ἔκφυσιν·
οὕτως καὶ ὅσα τῆς ἀλόγου φύσεώς ἐστιν ἴδια, ταῦτα τῷ νοε-
Β ρῷ τῆς ψυχῆς κατεμίχθη. Ἐκείνων, φησὶν, ὁ θυμὸς, ἐκείνων
ὁ φόβος, ἐκείνων τὰ ἄλλα πάντα, ὅσα κατὰ τὸ ἐναντίον ἐν

disputatio de his rebus a nobis interim tanquam in exercitatione proponatur, ut eorum, qui calumniandi causa auscultant, maledicta effugere possit. Via quadam et ordinis consequentia ad hominis creationem divinum numen accessisse prodiderunt literae sacrae: postquam enim constituta est universitas, sicut dicit historia, non statim homo exsistit in terra, sed hunc quidem praecessit natura eorum, quae ratione carent; ante illa vero germina fuerunt. Ostendunt, opinor, per haec literae sacrae, vitalem vim consequentia quadam corporeae commisceri naturae, primum quidem penetrantem in ea, quae carent sensu; posthac vero procedentem ad id, quod est sensu praeditum; deinde ita ascendentem ad id, quod est intelligens, rationisque particeps. Igitur eorum, quae sunt, aliud corporeum, aliud intelligens est omnino. Corporei autem aliud inanimum est, aliud animatum. Animatum dico id, quod est vitae particeps. Eorum autem, quae vivunt, alia sunt sensu praedita, alia carent sensu. Rursus eorum, quae sensum habent, alia ratione praedita, alia expertia sunt rationis. Quoniam ergo vita sensu praedita absque materia consistere non possit, nec intelligens quidem aliter fuerit in corpore, nisi sentiendo innascatur: hac de causa homo postremo loco conditus esse traditur, ut qui omnem vitalem speciem, tam quae in germinibus, quam quae in brutis animadvertitur, in sese complexus sit. Nam quod alitur et augetur, ex plantarum vita habet: licet enim etiam in illis tale quid videre, quippe quum et attrahatur nutrimentum per radices, et per fructus simul ac folia excernatur: quod autem sensu regitur, ex iis habet, quae expertia sunt rationis. At vis cogitandi et ratiocinandi impermixta ac propria est in hac natura, et per se consideratur. Sed quemadmodum vim attrahentem res necessarias ad materialem vitam natura habet, quae vis, quum in nobis fuerit, appetitus dicitur (hanc autem vim dicimus de specie vitae plantarum esse: nam et in illis licet videre tanquam appetitiones quasdam naturaliter operantes, dum et implentur eo, quod cuique proprium est, et turgent ad germinationem): eodem etiam modo quaecunque naturae ratione carentia propria sunt, haec intelligenti animae facultati admixta

ἡμῖν ἐνεργεῖται, πλὴν τῆς λογικῆς τε καὶ διανοητικῆς δυνάμεως, ὃ δὴ μόνον τῆς ἡμετέρας ζωῆς ἐςὶν ἐξαίρετον, ἐν ἑαυτῷ, καθὼς εἴρηται, τοῦ θείου χαρακτῆρος ἔχον τὴν μίμησιν· ἀλλ᾽ ἐπειδὴ κατὰ τὸν ἤδη προαποδοθέντα λόγον οὐκ ἔςιν ἄλλως τὴν λογικὴν δύναμιν ἐγγενέσθαι τῇ σωματικῇ ζωῇ, μὴ διὰ τῶν αἰσθήσεων ἐγγινομένην· ἡ δὲ αἴσθησις ἐν τῇ τῶν ἀλόγων προϋπέςη φύσει· ἀναγκαίως
C διὰ τοῦ ἑνὸς καὶ πρὸς τὰ συνημμένα τούτῳ γίνεται τῆς ψυχῆς ἡμῶν ἡ κοινωνία. Ταῦτα δὲ ἔςιν ὅσα ἐν ἡμῖν γινόμενα πάθη λέγεται, ἃ οὐχὶ πάντως ἐπὶ κακῷ τινι τῇ ἀνθρωπίνῃ συνεκληρώθη ζωῇ· ἦ γὰρ ἂν ὁ δημιουργὸς τῶν κακῶν τὴν αἰτίαν ἔχοι, εἰ ἐκεῖθεν αἱ τῶν πλημμελημάτων ἦσαν ἀνάγκαι συγκαταβεβλημέναι τῇ φύσει· ἀλλὰ τῇ ποιᾷ χρήσει τῆς προαιρέσεως ἢ ἀρετῆς ἢ κακίας ὄργανα τὰ τοιαῦτα τῆς ψυχῆς κινήματα γίνεται, καθάπερ
D ὁ σίδηρος κατὰ γνώμην τοῦ τεχνίτου τυπούμενος, πρὸς ὅπερ ἂν ἐθέλῃ τοῦ τεχνιτεύοντος ἡ ἐνθύμησις, πρὸς τοῦτο καὶ σχηματίζεται, ἢ ξίφος ἢ τι γεωργικὸν ἐργαλεῖον γινόμενος. Οὐκοῦν εἰ μὲν ὁ λόγος, ὃ δὴ τῆς φύσεως ἡμῶν ἐςὶν ἐξαίρετον, τῶν ἔξωθεν ἡμῖν ἐπεισκριθέντων τὴν ἡγεμονίαν ἔχοι, καθὼς καὶ δι᾽ αἰνίγματος ὁ τῆς γραφῆς παρεδήλωσε λόγος, ἄρχειν ἐγκελευόμενος πάντων τῶν ἀλόγων, οὐκ ἄν τι πρὸς κακίας ἠπηρεσίαν τῶν τοιούτων κινημάτων ἡμῖν ἐνεργήσειεν, τοῦ μὲν φόβου τὸ ὑπήκοον ἐμ-
207 ποιοῦντος, τοῦ δὲ θυμοῦ τὸ ἀνδρεῖον, τῆς δειλίας δὲ τὴν
A ἀσφάλειαν, τῆς δὲ ἐπιθυμητικῆς ὁρμῆς τὴν θείαν τε καὶ ἀκήρατον ἡμῖν ἡδονὴν προξενούσης. Εἰ δὲ ἀποβάλοι τὰς ἡνίας ὁ λόγος καὶ οἷόν τις ἡνίοχος ἐμπλακεὶς τῷ ἅρματι κατόπιν ὑπ᾽ αὐτοῦ σύροιτο, ἐκεῖ ἀπαγόμενος, ὅπουπερ ἂν ἡ ἄλογος κίνησις τῶν ὑπεζευγμένων φέρῃ, τότε εἰς πάθος αἱ ὁρμαὶ καταςρέφονται, οἷον δὴ καὶ ἐν τοῖς ἀλόγοις ἔςιν ἰδεῖν· ἐπειδὴ γὰρ οὐκ ἐπισατεῖ λογισμὸς τῆς φυσι-
B κῶς αὐτοῖς ἐγκειμένης κινήσεως, τὰ μὲν θυμώθη τῶν ζώων ἐν ἀλλήλοις φθείρεται τῷ θυμῷ ςρατηγούμενα, τὰ δὲ πολύσαρκά τε καὶ δύνατα εἰς οὐδὲν οἰκεῖον ἀγαθὸν ἀπώνατο τῆς δυνάμεως, κτῆμα τοῦ λογικοῦ διὰ τὴν ἀλο-

sunt. Illorum, inquit, est ira, illorum metus, illorum alia omnia, quaecunque contra in nobis exercentur, excepta rationis participe et cogitandi facultate, quod quidem solum nostrae vitae praecipuum est, in se, sicut dictum est, divinae formae imitationem continens; sed quoniam, ut iam supra indicatum est, vis ratione praedita corporeae vitae non aliter inesse potest, nisi per sensus insit: sensus autem prius constitit in natura eorum, quae expertia sunt rationis: necessario per unum etiam cum cohaerentibus huic exsistit animae nostrae communio. Haec autem sunt, quae, quum in nobis exsistunt, animi perturbationes dicuntur, quae non omnino mali alicuius causa humanae attributae sunt vitae (profecto enim creatori causa malorum adscriberetur, si illinc peccatorum necessitates simul cum natura primordium cepissent); sed certo quodam usu liberi arbitrii vel virtutis vel vitii instrumena tales animi motus exsistunt, quemadmodum ferrum, dum ex sententia artificis cuditur, ad quodcunque voluerit artificis cogitatio, ad id etiam formatur, et vel gladius vel rusticum aliquod instrumentum fit. Ergo si quidem ratio, quae sane naturae nostrae praecipua pars est, eorum, quae extrinsecus nobis inserta sunt, principatum obtineat (sicut etiam literae sacrae per aenigma indicant iubentes imperare omnibus, quae expertia sunt rationis) nullus eiusmodi motus ad vitii ministerium in nobis operabitur, metu quidem obedientiam ingenerante, ira vero fortitudinem, timiditate autem cautionem et cupiditatis impetu divinam et immortalem nobis voluptatem conciliante. Sin autem ratio habenas amiserit, et tanquam aliquis auriga currui implicitus ab eo retro trahatur, illuc abreptus, quocunque eum rationis expers motus iumentorum auferat, tunc in perturbationem appetitiones convertuntur, quale quidem etiam in brutis videri potest: quoniam enim ratio motui naturaliter iis insito non praeest, iracunda quidem animalia sese invicem conficiunt ira imperante; quae autem carnosa sunt, ac robusta, dum propter rationis defectum ratione praediti possessio fiunt, nihil proprii suarum virium commodi sentiunt: et

γίαν γινόμενα· ἥ τε τῆς ἐπιθυμίας καὶ τῆς ἡδονῆς ἐνέργεια περὶ οὐδὲν τῶν ὑψηλῶν ἀσχολεῖται, οὔτε ἄλλο τι τῶν ἐν αὐτοῖς θεωρουμένων λόγῳ τινὶ πρὸς τὸ λυσιτελοῦν διεξάγεται. Οὕτω καὶ ἐν ἡμῖν, εἰ μὴ πρὸς τὸ δέον ἄγοιτο ταῦτα διὰ τοῦ λογισμοῦ, ἀλλ' ἐπικρατοίη τῆς τοῦ
C νοῦ δυναςείας τὰ πάθη, πρὸς τὸ ἄλογόν τε καὶ ἀνόητον μεταβαίνει ὁ ἄνθρωπος ἀπὸ τοῦ διανοητικοῦ τε καὶ θεοειδοῦς, τῇ ὁρμῇ τῶν τοιούτων παθημάτων ἀποκτηνούμενος.

ΓΡΗΓ. Ἐγὼ δὲ σφόδρα περὶ τὰ εἰρημένα διατεθείς· Ἀρκεῖ μέν, ἔφην, παντὶ τῷ γε νοῦν ἔχοντι ψιλῶς οὐτωσὶ καὶ ἀκατασκεύως δι' ἀκολούθου προελθὼν ὁ λόγος, εὖ ἔχειν δόξαι καὶ μηδαμοῦ παρεσφάλθαι τῆς ἀληθείας. Ἐπεὶ δὲ τοῖς μὲν τὰς τεχνικὰς ἐφόδους μεμελετηκόσι τῶν
D ἀποδείξεων ὁ συλλογισμὸς ἱκανὸς εἰς πίςιν δοκεῖ· ἡμῖν δὲ πάντων τῶν τεχνικῶν συμπερασμάτων ἀξιοπιςότερον εἶναι ὁμολογεῖται τὸ διὰ τῶν ἱερῶν τῆς γραφῆς διδαγμάτων ἀναφαινόμενον, ζητεῖν οἶμαι δεῖν ἐπὶ τοῖς εἰρημένοις, εἰ ἡ θεόπνευςος διδασκαλία συμφέρεται.

ΜΑΚΡ. Ἥ δέ· Καὶ τίς ἂν ἀντείποι, φησὶ, μὴ οὐχὶ ἐν τούτῳ μόνῳ τὴν ἀλήθειαν τίθεσθαι, ᾧ σφαγὶς ἔπεςιν τῆς γραφικῆς μαρτυρίας. Οὐκοῦν εἰ χρή τι καὶ τῆς τοῦ εὐαγγελίου διδασκαλίας πρὸς τὴν τοῦ δόγματος τούτου
208συνηγορίαν παραληφθῆναι, οὐκ ἀπὸ καιροῦ γένοιτ' ἂν
A ἡμῖν τῆς παραβολῆς τῶν ζιζανίων ἡ θεωρία· ἔσπειρεν γὰρ ἐκεῖ τὸ καλὸν σπέρμα ὁ οἰκοδεσπότης· ἡμεῖς δὲ πάντος ὁ οἶκός ἐσμεν. Καθεύδοντας δὲ τοὺς ἀνθρώπους ἐπιφυλάξας, ἐνέσπειρεν ὁ ἐχθρὸς τῷ τροφίμῳ τὸ ἄχρηςον, αὐτῷ τῷ σίτῳ κατὰ τὸ μέσον ἐνθεὶς τὸ ζιζάνιον. Καὶ συνεβλάςησεν ἀλλήλοις τὰ σπέρματα· οὐ γὰρ ἦν δυατὸν τὸ αὐτῷ τῷ σίτῳ ἐντεθὲν σπέρμα μὴ σὺν ἐκείνῳ βλαςῆσαι. Κωλύει δὲ τοὺς ὑπηρέτας ὁ τῆς γεωργίας ἔ-
B φορος μὴ ἀποτίλλειν τὸ ἄχρηςον διὰ τὴν ἐν τῇ ῥίζῃ τῶν ἐναντίων συμφυΐαν, ὡς ἂν μὴ τῷ ἀλλοτρίῳ συνεκτιλῇ τὸ τρόφιμον. Τὰς γὰρ τοιαύτας τῆς ψυχῆς ὁρμὰς διὰ τῶν καλῶν σπερμάτων οἰόμεθα τὸν λόγον ἐνδείκνυσθαι, ὧν ἔ-

cupiditatis et voluptatis operatio in nulla re sublimi versatur, nec aliud quicquam eorum, quae in iis cernuntur, ratione aliqua ad id, quod prodest, deducitur. Ita etiam in nobis, nisi haec ad id, quod oportet, ratione ducantur, sed in mentem imperium obtineant perturbationes, homo transit ad id, quod expers est rationis et intelligentiae, ab eo, quod est intelligens et divinum, dum impetu eiusmodi affectionum animi in pecudem degenerat.

GREG. Ego autem iis, quae dicta erant, valde affectus: Sufficit quidem, inquam, cuivis, qui sapit, sic nude atque simpliciter per consequentiam progressa oratio, ut recte habere et nusquam a veritate aberasse videatur. Sed quoniam iis quidem, qui in artificiosis demonstrationum instrumentis exercitati sunt, ad fidem faciendam syllogismus sufficere videtur; nobis vero constat omnibus, quae arte fiunt, conclusionibus, fide dignius esse, quod per sacram apparet literarum doctrinam, quaerendum esse censeo in iis, quae dicta sunt, an divinitus tradita doctrina consentiat.

MACR. Illa autem: Quis, inquit, contradixerit, non esse in hoc solo ponendam veritatem, cui literarum sacrarum testimonii adest sigillum? Si ergo ad hoc dogma defendendum oportet etiam aliquid assumi ex doctrina evangelica, non intempestivum nobis fuerit contemplari parabolam zizaniorum: spargebat enim illic bonum semen paterfamilias; nos autem omnino familia sumus. Quum autem dormientes homines observasset inimicus, in eo, quod erat utile ad nutrimentum, seminavit inutile, zizanio immisso in medium ipsum frumentum: simulque semina germinarunt; non poterat enim fieri, ut cum ipso frumento immissum semen non cum illo germinaret. Prohibet autem qui praeest agriculturae ministros, ne evellant id, quod est inutile, propterea quod in radice contraria coaluerint, ne cum alieno evelleretur id, quod est utile. Tales enim animi appetitiones literis sacris per bona semina existimamus indicari, quorum unumquodque, si

καζον, εἰ μόνον πρὸς τὸ ἀγαθὸν ἐγεωργεῖτο, τὸν τῆς ἀρετῆς ἂν ἡμῖν καρπὸν πάντως ἐβλάστησεν. Ἐπειδὴ δὲ παρενεσπάρη τούτοις ἡ περὶ τὴν τοῦ καλοῦ κρίσιν διαμαρτία, καὶ τὸ ὄντως καὶ μόνον κατὰ τὴν ἰδίαν φύσιν καλὸν διὰ τοῦ συναναφυέντος βλαξοῦ τῆς ἀπάτης ἐπεσκοτίσθη· τὸ γὰρ ἐπιθυμητικὸν οὐ πρὸς τὸ τῇ φύσει καλὸν, οὗ χάριν καὶ κατεσπάρη ἡμῖν, ἐφύη τε καὶ ἀνέδραμεν, ἀλλὰ πρὸς τὸ κτηνῶδες καὶ ἄλογον τὸν βλαξὸν μετεποίησεν, τῆς περὶ τὸ καλὸν ἀκρισίας πρὸς τοῦτο τὴν τῆς ἐπιθυμίας ἐνεγκούσης ὁρμήν· ὡςαύτως καὶ τὸ τοῦ θυμοῦ σπέρμα οὐ πρὸς ἀνδρείαν ἐςόμωσεν, ἀλλὰ πρὸς τὴν τῶν ὁμοφύλων μάχην ἐξώπλισεν· ἥ τε τῆς ἀγάπης δύναμις τῶν νοητῶν ἀπέςη, περὶ τὴν τῶν αἰσθητῶν ἀπόλαυσιν πέρα τοῦ μέτρου ὑλομανήσασα· καὶ τὰ ἄλλα κατὰ τὸν αὐτὸν τρόπον τοὺς χείρονας βλαξοὺς ἀντὶ τῶν κρειττόνων ἐξήνθησεν· τούτου χάριν ἀφίησιν ὁ σοφὸς γεωργὸς τὸ ἐμφυὲν τῷ σπέρματι βλάστημα ἐν αὐτῷ εἶναι προμηθείᾳ τοῦ μὴ γυμνωθῆναι τῶν κρειττόνων ἡμᾶς, καθ' ὅλου τῆς ἐπιθυμίας τῷ ἀχρήςῳ βλαξῷ συνεκριζωθείσης· εἰ γὰρ τοῦτο πάθοι ἡ ἀνθρωπίνη φύσις, τί ἔςι τὸ ἐπαῖρον ἡμᾶς πρὸς τὴν τῶν οὐρανίων συνάφειαν; ἢ τῆς ἀγάπης ἀφαιρεθείσης, τίνι τρόπῳ πρὸς τὸ θεῖον συναφθησόμεθα; τοῦ δὲ θυμοῦ κατασβεσθέντος, ποῖον ὅπλον κατὰ τοῦ προσπαλαίοντος ἕξομεν; Ἀφίησι τοίνυν τὰ νόθα τῶν σπερμάτων ἐν ἡμῖν ὁ γεωργὸς, οὐχ ὡς εἰς ἀεὶ κατακρατεῖν τῆς τιμιωτέρας σπορᾶς, ἀλλ' ὡς αὐτὴν τὴν ἄρουραν· οὕτω γὰρ τὴν καρδίαν τροπικῶς ὀνομάζει· διὰ τῆς ἐγκειμένης αὐτῇ φυσικῆς δυνάμεως, ἥτις ἐςὶν ὁ λογισμὸς, τὸ μὲν ξηρᾶναι τῶν βλαςημάτων, τὸ δὲ κάρπιμον καὶ εὐθαλὲς ἀπεργάσασθαι. Εἰ δὲ μὴ τοῦτο γένοιτο, τῷ πυρὶ τὴν τῆς γεωργίας διάκρισιν ταμιεύεται. Οὐκοῦν εἰ μέν τις τούτοις κατὰ τὸν δέοντα χρήσαιτο λόγον, ἐν ἑαυτῷ λαμβάνων ἐκεῖνα, καὶ μὴ αὐτὸς ἐν ἐκείνοις γινόμενος, ἀλλ' οἷόν τις βασιλεὺς τῇ πολυχειρίᾳ τῶν ὑπηκόων συνεργῷ χρώμενος, ῥᾷον κατορθώσει τὸ κατ' ἀρετὴν σπουδαζόμενον· εἰ δὲ ἐπ' ἐκείνοις γένοιτο, καθάπερ δούλων

solum ad id, quod est bonum, excoleretur, virtutis fructum nobis omnino produceret. Quoniam autem iuxta haec inspersus est error circa honesti iudicium, et quod vere et solum ex sua natura bonum est, per fraudis germen, quod simul crevit, obscuratum est (vis enim concupiscendi non ad id, quod est natura bonum, cuius causa nobis etiam insita est, crevit atque prodiit, sed ad id, quod est belluinum, rationisque expers, germen transtulit, egestate iudicii in eo, quod honestum est, ad hoc cupiditatis impetum rapiente: similiter irae quoque semen non ad fortitudinem acuit, sed ad pugnam adversus eos, qui eiusdem sunt generis, armavit, et vis dilectionis defecit ab iis, quae percipiuntur intelligentia, in fruendo sensilibus supra modum luxurians: et cetera eodem modo deteriora germina pro melioribus produxerunt): iccirco prudens agricola germen semini innatum in eo esse sinit, providens, ne nos privemur melioribus, si cum inutili germine cupiditas penitus evulsa fuerit: nam si hoc acciderit humanae naturae, quid est quod nos incitet, ut caelestibus coniungamur? aut dilectione ablata, quo modo deo coniungemur? ira autem exstincta, quibus armis adversus reluctantem utemur? Adulterina ergo semina in nobis relinquit agricola, non ut semper dominatum obtineant in pretiosiorem sementem, sed ut ipsa terra (ita enim tropice cor nominat) per insitam ei vim naturalem, quae est ratiocinatio, aliud germen arefaciat, aliud floridum et frugiferum reddat. Id si factum non fuerit, agriculturam igni discernendam reservat. Si quis ergo his recte utatur, illaque in se recipiat, nec ipse in potestatem illorum redigatur, sed velut aliquis rex magna subditorum manu adiutrice utatur, facilius recte geret id, quod ex virtute gerere studet; sin autem redactus in illorum fuerit potestatem, perinde ac si aliqui servi insurrexerint adversus dominum, isque in servitu-

τινῶν ἐπαναςάντων τῷ κεκτημένῳ, καὶ ἐξανδραποδισθείη, ταῖς δουλικαῖς ἀπονοίαις ἀγεννῶς ὑποκύψας, καὶ κτῆμα γένοιτο τῶν ὑπεζευγμένων κατὰ τὴν φύσιν αὐτῷ, πρὸς ἐκεῖνα κατ' ἀνάγκην μετατεθήσεται, πρὸς ἅπερ ἂν ἡ ἐπικράτησις τῶν καθηγουμένων βιάζηται. Εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, οὔτε ἀρετὴν, οὔτε κακίαν ἐφ' ἑαυτῶν ταῦτα ἀποφανούμεθα, ὅσα κινήματα τῆς ψυχῆς ὄντα ἐπὶ τῇ ἐξουσίᾳ τῶν χρωμένων κεῖται, ἢ καλῶς ἢ ὡς ἑτέρως ἔχειν· ἀλλ', ὅταν μὲν αὐτοῖς πρὸς τὸ κρεῖττον ἡ κίνησις ᾖ, ἐπαίνων γίνεσθαι ὕλην, ὡς τῷ Δανιὴλ τὴν ἐπιθυμίαν καὶ τῷ Φινεὲς τὸν θυμὸν καὶ τῷ καλῶς πενθοῦντι τὴν λύπην, εἰ δὲ πρὸς τὸ χεῖρον γένοιτο ἡ ῥοπὴ, τότε πάθη γίνεσθαι ταῦτα καὶ ὀνομάζεσθαι.

ΓΡΗΓ. Ἐγὼ δὲ ταῦτα διεξελθούσης, ἐπειδὴ παυσαμένη βραχύ τι ἔδωκε τῷ λόγῳ διαλιπεῖν, καὶ συνελεξάμην τῇ διανοίᾳ τὰ εἰρημένα, πάλιν ἐπὶ τὴν προτέραν ἀνέδραμον ἀκολουθίαν τοῦ λόγου, ἐν ᾧ κατεσκευάζετο μὴ ἀδύνατον εἶναι τὴν ψυχὴν διαλυθέντος τοῦ σώματος ἐν τοῖς στοιχείοις εἶναι, καὶ τοῦτο εἶπον πρὸς τὴν διδάσκαλον· Ποῦ ἐκεῖνο τὸ πολυθρύλητον τοῦ Ἅιδου ὄνομα, πολὺ μὲν ἐν τῇ συνηθείᾳ τοῦ βίου, πολὺ δὲ ἐν ταῖς συγγραφαῖς ταῖς τε ἔξωθεν καὶ ταῖς ἡμετέραις περιφερόμενον, εἰς ὃ πάντες οἴονται καθάπερ εἴς τι δοχεῖον ἐνθένδε τὰς ψυχὰς μετανίσασθαι; Οὐ γὰρ ἂν τὰ στοιχεῖα τὸν Ἅιδην λέγοις.

ΜΑΚΡ. Καὶ ἡ διδάσκαλος· Δῆλος εἶ, φησὶ, μὴ λίαν προσεσχηκὼς τῷ λόγῳ· τὴν γὰρ ἐκ τοῦ ὁρωμένου πρὸς τὸ ἀειδὲς μετάσασιν τῆς ψυχῆς εἰποῦσα, οὐδὲν ὤμην ἐλλελοιπέναι εἰς τὸν τὸ περὶ τοῦ Ἅιδου ζητούμενον· οὐδὲ γὰρ ἄλλο τί μοι δοκεῖ παρά τε τῶν ἔξωθεν καὶ παρὰ τῆς θείας γραφῆς τὸ ὄνομα τοῦτο διασημαίνειν, ἐν ᾧ τὰς ψυχὰς γίνεσθαι λέγουσι, πλὴν τὴν εἰς τὸ ἀφανές τε καὶ ἀειδὲς μεταχώρησιν.

ΓΡΗΓ. Καὶ πῶς, εἶπον ἐγὼ, τὸν ὑποχθόνιον χῶρον οἴονταί τινες οὕτω λέγεσθαι, ἐν ἑαυτῷ τε κἀκεῖνον τὰς ψυχὰς πανδοκεύειν, καθάπερ τι χώρημα τῆς τοιαύτης φύ-

tem abreptus fuerit, servili insolentiae per ignaviam succumbens, et mancipium eorum evaserit, quae ei subiecta sunt natura: ad illa necessario traducetur, ad quae vis regentium eum impulerit. Quae si ita sunt, neque virtutem, neque vitium per se ea pronuntiabimus: quae quum sint animi motus, in potestate utentium est situm, ea vel bene habere vel secus; sed, quando eorum motus ad id, quod est melius, inclinaverit, ea laudum existere materiam, ut Danieli cupiditatem, et Phineeso iram recteque lugenti tristitiam; sin autem ad id, quod est deterius, facta fuerit propensio, tunc ea animi perturbationes fieri et nominari.

GREG. Ego vero, quum his expositis cessans aliquantulum orationem intermisisset, ipseque mente collegissem ea, quae dicta fuerant, rursus ad priorem recurri consequutionem orationis, qua confirmabatur fieri posse, ut anima dissoluto corpore sit in elementis: et hoc dixi magistrae: Ubi est illud, quod vulgo iactatur, Inferni nomen, quod multum in consuetudine vitae, multum in scriptis tam externis, quam nostris circumfertur, in quod tanquam in aliquod receptaculum omnes arbitrantur hinc migrare animas? Non enim elementa Infernum dixeris.

MACR. Et magistra: Est evidens, inquit, te ea, quae diximus, non admodum attendisse: nam, quum dixi animae transitum ab eo, quod videtur, ad id, quod non cernitur, nihil putabam me reliquisse, quod de Inferno quaeretur: nec enim aliud quippiam mihi videtur tam in externis, quam in divinis literis hoc nomen significare, in quo animas esse dicunt, quam transitum ad id, quod non apparet, neque cernitur.

GREG. Et quomodo, inquam ego, subterraneum locum quidam ita dici putant, illumque in se animas quasi hospitio excipere, tanquam receptaculum quoddam eiusmodi

B σεως δεκτικὸν τὰς ἀποπτάσας ἤδη τῆς ἀνθρωπίνης ζωῆς πρὸς ἑαυτὸν ἐφελκόμενον;

ΜΑΚΡ. Ἀλλ' οὐδὲν μᾶλλον, φησὶν ἡ διδάσκαλος, τὸ δόγμα διὰ τῆς ὑπονοίας ταύτης παραβλαβήσεται· εἰ γὰρ ἀληθὴς ὁ λόγος ὁ κατὰ σὲ, καὶ τὸ συνεχῆ τε πρὸς ἑαυτὸν καὶ ἀδιάσπαστον εἶναι τὸν οὐράνιον πόλον, τῷ ἰδίῳ κύκλῳ πάντα ἐμπεριέχοντα, καὶ ἐν τῷ μέσῳ τὴν γῆν καὶ τὰ περὶ αὐτὴν αἰωρεῖσθαι, καὶ πάντων τῶν κυκλοφορουμένων τὴν κίνησιν περὶ τὸ ἔξω καὶ πάγιον γίνεσθαι, ἀ-
C νάγκη πᾶσα, φησὶν, ὅ τί περ ἂν ἑκάστῳ τῶν στοιχείων ᾖ κατὰ τὸ ἄνω τῆς γῆς μέρος, τοῦτο καὶ κατὰ τὸ ἀντικείμενον εἶναι, μιᾶς καὶ τῆς αὐτῆς οὐσίας ὅλον αὐτῆς τὸν ὄγκον ἐν κύκλῳ περιθεούσης. Καὶ ὥσπερ ὑπὲρ γῆν τοῦ ἡλίου φανέντος ἐπὶ τὸ ὑποκείμενον αὐτῆς σκέφεται ἡ σκιὰ, τοῦ σφαιροειδοῦς σχήματος οὐ δυναμένου κατὰ ταὐτὸν ἐν κύκλῳ διαληφθῆναι τῇ τῆς ἀκτῖνος περιβολῇ, ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην, καθ' ὅπερ ἂν τῆς γῆς μέρος προσβάλῃ ταῖς ἀκτῖσιν ὁ ἥλιος, κατά τινος κέντρου πάν-
D τως ἐπὶ τῆς σφαίρας γινόμενος, πρὸς τὴν εὐθεῖαν διάμετρον κατὰ τὸ ἕτερον πέρας σκότος ἔχει· καὶ οὕτω κατὰ τὸ διηνεκὲς τῷ ἡλιακῷ δρόμῳ ἐπὶ τὸ ἀντικείμενον τῇ τῆς ἀκτῖνος εὐθείᾳ συμπεριοδεύει τὸ σκότος, ὥστε κατὰ τὸ ἴσον τόν τε ὑπέργειον καὶ τὸν ὑπόγειον τόπον ἀνὰ μέρος γίνεσθαι ἐν φωτί τε καὶ σκότῳ· οὕτως εἰκὸς καὶ τἆλλα πάντα ὅ τί περ ἂν στοιχειωδῶς ἐν τῷ καθ' ἡμᾶς ἡμισφαιρίῳ τῆς γῆς θεωρεῖται, τὸ αὐτὸ καὶ περὶ τὸ ἕτερον εἶναι μὴ ἀμφιβάλλειν. Μιᾶς δὲ καὶ τῆς αὐτῆς οὔσης κατὰ πᾶν τῆς γῆς μέρος τῆς τῶν στοιχείων περιβολῆς οὔτε ἀντιλέγειν, οὔτε συναγορεύειν οἶμαι δεῖν τοῖς περὶ τού-
211 των ἐνισαμένοις, ὡς δέον ἢ τοῦτον ἢ τὸν καταχθόνιον
A τόπον ἀποτετάχθαι οἴεσθαι ταῖς τῶν σωμάτων ἐκλυθείσαις ψυχαῖς· ἕως γὰρ ἂν μὴ παρακινοίη τὸ προηγούμενον δόγμα ἡ ἔνσασις περὶ τοῦ εἶναι μετὰ τὴν ἐν σαρκὶ ζωὴν τὰς ψυχὰς, οὐδὲν περὶ τοῦ τόπου ὁ ἡμέτερος λόγος διενεχθήσεται, μόνων σωμάτων ἴδιον εἶναι τὴν ἐπὶ τόπου

naturae capax, quod eas, quae iam evolaverint ex humana vita, ad se attrahat?

MACR. Sed nihilo magis, inquit magistra, per hanc opinionem laedetur dogma: nam si verum est quod a te dicitur, et continuum sibi atque indissolubilem esse polum caelestem, qui orbe suo omnia contineat, et in medio terram, et quae circa eam sunt, esse suspensa, omniumque, quae in orbem vertuntur, motum circa id, quod est firmum ac stabile, fieri, omnino, inquit, necesse est, ut quidquid uniculque elementorum accidat in supera terrae parte, id etiam ex adverso contingat, quum una eademque natura totam eius magnitudinem in orbem ambiat. Et quemadmodum, super terram sole apparente, ad subiectam partem eius umbra versatur, quum globosa figura eodem tempore undique radii amplexu comprehendi non possit, sed prorsus necesse est, ut, ad quamcunqne terrae partem sol radios admoverit, in quodam centro omnino in orbe existens, recta diametro in altero fine tenebrae sint, et sic perpetuo una cum solis cursu ex adverso rectae radii lineae obeant tenebrae, adeo ut aequabiliter et superus et inferus terrae locus vicissim et in luce et in tenebris sit: ita consentaneum est in ceteris quoque omnibus quodcunque iuxta elementorum naturam in nostro terrae hemisphaerio cernitur, idem etiam in altero esse non addubitare. Quum autem per omnem terrae partem unus et idem elementorum complexus sit, neque contradicendum, neque suffragandum arbitror iis, qui haec obiiciunt, quod oporteat existimare aut hunc aut subterraneum locum destinatum esse animis corpore solutis: quamdiu enim hac obiectione non labefactatur praecipuum illud dogma de eo, quod sunt animae post vitam, quae in carne degebatur, nihil controversiae de loco nostra movebit oratio, ut quae sentiat corporum duntaxat proprium esse in loco situm: animam autem, quae

θέσιν καταλαμβάνων· ψυχὴν δὲ ἀσώματον οὖσαν μηδεμίαν ἀνάγκην ἔχειν ἐκ φύσεως τόποις τισὶν ἐγκατέχεσθαι.

B ΓΡΗΓ. Τί οὖν, εἶπον, εἰ τὸν ἀπόζολον ὁ ἀντιλέγων προβάλλοιτο, πᾶσαν λέγοντα τὴν λογικὴν κτίσιν ἐν τῇ τοῦ παντὸς ἀποκαταζάσει πρὸς τὸν τοῦ παντὸς ἐξηγούμενον βλέπειν, ἐν οἷς καὶ καταχθονίων μνημονεύει τινῶν δι' ἐπιζολῆς πρὸς Φιλιππησίους εἰπών· ὅτι αὐτῷ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων.

ΜΑΚΡ. Ἐπιμενοῦμεν τῷ δόγματι, φησὶν ἡ διδάσκαλος, κἂν ταῦτα λεγόντων ἀκούωμεν, περὶ μὲν τοῦ εἶναι τὴν ψυχὴν καὶ τὸν ἀντιλέγοντα σύμψηφον ἔχοντες, περὶ δὲ τοῦ τόπου, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται, οὐκ ἐνισάμενοι.

C ΓΡΗΓ. Τοῖς οὖν ἐπιζητοῦσιν, εἶπον, τὴν ἀποζολικὴν ἐν τῇ φωνῇ ταύτῃ διάνοιαν, τί ἄν τις εἴποι, εἴπερ τῆς τοπικῆς σημασίας ἀποκινοίη τὴν λέξιν;

ΜΑΚΡ. Ἡ δέ· Οὔ μοι δοκεῖ, φησὶν, ὁ θεῖος ἀπόζολος, τοπικῶς τὴν νοερὰν διακρίνων οὐσίαν, τὸ μέν τι ἐπουράνιον, τὸ δὲ ἐπίγειον, τὸ δὲ καταχθόνιον ὀνομάσαι. Ἀλλ' ἐπειδὴ τρεῖς τῆς λογικῆς φύσεώς εἰσι καταζάσεις, ἡ μὲν ἐξ ἀρχῆς τὴν ἀσώματον λαχοῦσα ζωὴν, ἣν ἀγγελικὴν ὀνομάζομεν, ἡ δὲ πρὸς τὴν σάρκα συμπεπλεγμένη, ἣν ἀνθρωπίνην φαμέν· ἡ δὲ διὰ θανάτου τῶν σαρκῶν

D ἀπολελυμένη· ὅπερ ἐν ψυχαῖς θεωρεῖται, τοῦτο οἶμαι τῷ βάθει τῆς σοφίας βλέποντα τὸν θεῖον ἀπόζολον πάσης τῆς λογικῆς φύσεως τὴν ἐν τῷ ἀγαθῷ ποτὲ γενησομένην συμφωνίαν ἀποσημαίνειν, ἐπουράνιον μὲν καλοῦντα τὸ ἀγγελικὸν καὶ ἀσώματον, ἐπίγειον δὲ τὸ συμπεπλεγμένον τῷ σώματι, καταχθόνιον δὲ τὸ διακεκριμένον ἤδη τοῦ σώματος, ἢ εἰ δή τις καὶ ἄλλη παρὰ τὰ εἰρημένα φύσις ἐν λογικοῖς θεωρεῖται, ἣν εἴτε δαίμονας, εἴτε πνεύματα,

212 εἴτε ἄλλο τι τοιοῦτον ἐθέλοι τις κατονομάζειν, οὐ διοι-

A σόμεθα· πεπίζευται γὰρ ἔκ τε τῆς κοινῆς ὑπολήψεως καὶ ἐκ τῆς τῶν γραφῶν παραδόσεως εἶναί τινα φύσιν ἔξω τῶν τοιούτων σωμάτων, ὑπεναντίως πρὸς τὸ καλὸν διακειμένην, καὶ βλαπτικὴν τῆς ἀνθρωπίνης ζωῆς, ἐκουσίως

sit incorporea, nequaquam necesse habere ex sua natura, ut quibusdam locis detineatur.

GREG. Quid igitur, inquam, si is, qui contradicit, proferat apostolum, dicentem, omnem creaturam ratione praeditam in universitatis restitutione eum, qui universitati praeest, intueri: ubi etiam meminit quorumdam subterraneorum, dicens in epistola ad Philippenses: Ipsi omne genu flectetur caelestium, terrestrium et subterraneorum.

MACR. Permanebimus in dogmate, inquit magistra, etiamsi haec dicentes audiamus, de eo quidem, quod sit anima, eum etiam, qui contradicit, habentes concordantem, de loco autem, sicut supra dictum est, non repugnantes.

GREG. Quid ergo requirentibus, inquam, apostolicam in hac voce sententiam aliquis dixerit, siquidem a loci significatione sermonem removeat?

MACR. Illa vero: Non videtur mihi, inquit, divinus apostolus ratione loci intelligentem discernens essentiam, aliud caeleste, aliud terrestre, aliud subterraneum nominasse. Sed quoniam naturae ratione praeditae tres sunt conditiones, alia, cui ab initio contigit vita incorporea, quam angelicam nominamus: alia cum carne connexa, quam humanam vocamus: alia per mortem a carnibus absoluta: quod in animis consideratur, hoc opinor profunditate sapientiae intuentem divinum apostolum significare eum, qui aliquando futurus est, universae ratione praeditae naturae in bono consensum, caeleste vocantem id, quod est angelicum et incorporeum: terrestre id, quod connexum est cum corpore: subterraneum id, quod separatum iam est a corpore, aut si qua etiam alia praeter ea, quae dicta sunt, consideratur natura in iis, quae ratione sunt praedita: quam sive quis daemones, sive spiritus, sive aliquid aliud eiusmodi voluerit nominare, non dissidebimus: creditum est enim tam ex communi opinione, quam ex literarum sacrarum traditione esse quandam naturam extra eiusmodi corpora, quae bono adversetur et laedat humanam vitam, quae

τῆς κρείττονος λήξεως ἀπορρυεῖσαν, καὶ τῇ ἀποσάσει τοῦ καλοῦ τὸ ἐκ τοῦ ἐναντίου νοούμενον ἐν ἑαυτῇ ὑποζήσασαν, ἥνπερ φασὶ καταχθονίοις ἐναριθμεῖν τὸν ἀπόξολον, τοῦτο ἐν ἐκείνῳ τῷ λόγῳ σημαίνοντα, ὅτι τῆς κα-
B κίας ποτὲ ταῖς μακραῖς τῶν αἰώνων περιόδοις ἀφανισθείσης, οὐδὲν ἔξω τοῦ ἀγαθοῦ καταλειφθήσεται, ἀλλὰ καὶ παρ' ἐκείνων ὁμόφωνος ἡ ὁμολογία τῆς τοῦ Χριξοῦ κυριότητος ἔξαι. Τούτων οὖν οὕτως ἐχόντων οὐκέτ' ἄν τις ἡμᾶς ἀναγκάζοι τῷ τῶν καταχθονίων ὀνόματι τὸν ὑπόγειον ἐννοεῖν χῶρον, ἐπ' ἴσης τοῦ ἀέρος ἁπανταχόθεν περικεχυμένου τῇ γῇ, ὡς μηδὲν αὐτῆς μέρος γυμνὸν τῆς περιβολῆς τοῦ ἀέρος καταλαμβάνεσθαι.

ΓΡΗΓ. Ταῦτα δὲ διεξελθούσης τῆς διδασκάλου, μι-
C κρὸν ἐπισχών· Οὕπω ἱκανῶς ἔχω, φημὶ, τοῦ ζητουμένου, ἀλλ' ἔτι μοι τοῖς εἰρημένοις ἐπιδιξάζει πως ἡ διάνοια, καὶ δέομαι πάλιν ἐπαναχθῆναί μοι πρὸς τὴν αὐτὴν ἀκολουθίαν τὸν λόγον, τῶν μὲν ἤδη συμβιβασθέντων ἡμῖν ἀπαλλαγέντα· μετρίως γὰρ οἶμαι διὰ τῶν εἰρημένων τοὺς μὴ λίαν ἀντιτύπως ἔχοντας ἐναχθήσεσθαι μὴ εἰς ἀναίρεσιν καὶ ἀνυπαρξίαν τὴν ψυχὴν μετὰ τὴν διάλυσιν τῶν σωμάτων ἄγειν, μηδὲ κατασκευάζειν μηδαμοῦ δύνασθαι αὐτὴν ἐν τοῖς οὖσιν εἶναι διὰ τὸ ἑτεροφυῶς ἔχειν πρὸς τὴν
D τῶν ξοιχείων οὐσίαν. Κἂν μὴ συμβαίνῃ γὰρ τούτοις ἡ νοερά τε καὶ ἄϋλος φύσις, τὸ εἶναι ἐν αὐτοῖς οὐ κωλύεται, διχόθεν ἡμῖν τῆς ὑπολήψεως ταύτης βεβαιουμένης ἔκ τε τοῦ νῦν ἐν τῇ ζωῇ ταύτῃ τὴν ψυχὴν ἐν τοῖς σώμασιν εἶναι, ἄλλο τι παρὰ τὸ σῶμα κατὰ τὴν οὐσίαν ὑπάρχουσαν, καὶ ἐκ τοῦ τὴν θείαν φύσιν ἀποδεῖξαι τὸν λόγον, ἄλλο τι παντάπασιν οὖσαν τῆς αἰσθητικῆς τε καὶ ὑλικῆς οὐσίας, ὅμως δὲ δι' ἑκάξου τῶν ὄντων διήκειν καὶ τῇ πρὸς τὸ πᾶν ἀνακράσει συνέχειν ἐν τῷ εἶναι τὰ ὄντα, ὡς διὰ τούτων κατὰ τὸ ἀκόλουθον μηδὲ τὴν ψυχὴν ἔξω τῶν
213 ὄντων οἴεσθαι ἀπὸ τῆς ἐν εἴδει θεωρουμένης ζωῆς εἰς
A τὸ ἀειδὲς μεταξᾶσαν. Ἀλλὰ πῶς, εἶπον, τῆς τῶν ξοιχείων ἑνώσεως ἕτερόν τι διὰ τῆς πρὸς ἄλληλα μίξεως εἶδος ἀναλαβόντων, πρὸς δ τῆς ψυχῆς γέγονεν ἡ οἰκείωσις

sponte sua a meliore sorte defluxerit, et pro bono, a quo defecit, id, quod ex contrario intelligitur, in se susceperit, quam quidem aiunt subterraneis annumerare apostolum, id in illo dicto significantem, quod, vitiositate longis saeculorum circuitionibus aliquando exstincta, praeter bonum nihil relinquetur, sed etiam illi una voce dominationem Christi confitebuntur. Haec ergo quum ita sint, nemo nos coëgerit amplius subterraneorum nomine infernum intelligere locum, aequabiliter undique aëre circumfuso terrae, ut nulla eius pars ambitu aëris nuda deprehendatur.

GREG. Haec quum disseruisset magistra, paulisper cunctatus: Nondum, inquam, satis assequor, quod quaeritur, sed adhuc de iis, quae dicta sunt, mens quodammodo ambigua mihi est, et rogo, ut rursus mihi ad eandem consequentiam reducatur oratio, iis quidem, de quibus iam convenit inter nos, omissis: nam facile arbitror non admodum pertinaces per ea, quae dicta sunt, inductum iri, ne animam post corporum dissolutionem ad interitum ducant, perinde ac si nihil sit amplius, neque affirment eam nusquam in rebus universis esse posse, propterea quod sit diversae naturae ab elementorum essentia. Etsi enim cum elementis non congruat intelligens et materiae expers natura, esse tamen in iis non prohibetur; quippe duplici ratione nobis haec opinio confirmatur, tum ex eo, quod nunc in hac vita anima in corporibus est, quum aliud quiddam atque corpus naturâ sit, tum ex eo, quod oratio ostendit divinam naturam, quum aliud quiddam omnino sit, quam sentiens materiaeque particeps essentia, eorum tamen, quae sunt, unumquodque pervadere et per suam temperationem cum universitate ea, quae sunt, continere in essentia: adeo, ut per haec ex consequenti ne animam quidem extra ea, quae sunt, esse putemus, quum ex ea vita, quae in forma conspicitur, ad id, quod forma caret, transmigraverit. Sed quomodo, inquam, quum elementorum unio per eam, quae fit inter se invicem, mixtionem, diversam quandam acceperit formam, quacum animae intercesserit coniunctio et familiaritas, postquam dissolutione elemento-

ἐπειδὰν τῇ διαλύσει τῶν στοιχείων κατὰ τὸ εἰκὸς συναφανισθῇ καὶ τὸ εἶδος, τίνι σημείῳ κατακολουθήσει ἡ ψυχὴ μετὰ τοῦτο, τοῦ ἐγνωσμένου μὴ παραμείναντος;

ΜΑΚΡ. Ἡ δὲ μικρὸν ἐπισχοῦσα· Δεδόσθω μοι, φησὶ, κατ' ἐξουσίαν πλάσαι τινὰ λόγον ἐν ὑποδείγματι πρὸς
B τὴν τοῦ προκειμένου σαφήνειαν, κἂν ἔξω τοῦ δυνατοῦ δοκῇ τὸ λεγόμενον· δεδόσθω γὰρ δυνατὸν εἶναι τῇ τοῦ ζωγράφου τέχνῃ, μὴ μόνον μιγνύειν ἐξ ἐναντίων τὰ χρώματα, καθὼς ἔθος ποιεῖν αὐτοῖς, πρὸς τὴν τῆς μορφῆς ὁμοιότητα, ἀλλὰ καὶ διακρίνειν τὰ μεμιγμένα, καὶ τὴν κατὰ φύσιν πάλιν ἑκάστῳ τῶν χρωμάτων ἀποδιδόναι βαφήν. Οὐκοῦν τὸ λευκὸν καὶ τὸ μέλαν, ἢ τὸ ἐρυθρὸν καὶ τὸ χρυσοειδὲς, ἢ εἴ τις ἄλλη βαφὴ πρὸς τὴν ὁμοιότητα
C τοῦ προκειμένου συγκίρναται, εἰ πάλιν ἀποκριθείη τῆς πρὸς τὸ ἕτερον μίξεως καὶ ἐφ' ἑαυτοῦ γένοιτο, οὐδὲν ἧττον γινώσκεσθαι ὑπὸ τοῦ τεχνίτου φαμὲν αὐτὸ τὸ εἶδος τοῦ χρώματος, καὶ μηδεμίαν ἐγγίνεσθαι λήθην αὐτῷ μήτε τοῦ ἐρυθροῦ, μήτε τοῦ μέλανος, εἰ ἑτερόχροα κατὰ τὴν πρὸς ἄλληλα μίξιν γενόμενα πάλιν εἰς τὴν κατὰ φύσιν ἐπανέλθοι βαφήν· μεμνημένον δὲ τοῦ τρόπου τῆς πρὸς ἄλλα τῶν χρωμάτων συγκράσεως, εἰδέναι ποῖον ἐν τίνι γενόμενον οἷον ἀπειργάσατο χρῶμα, καὶ ὅπως ἐκπλυθέντος
D τοῦ ἑτέρου πάλιν εἰς τὸ οἰκεῖον ἐπανέδραμεν ἄνθος· καὶ εἰ πάλιν δέοι διὰ τῆς μίξεως τὸ ἴσον ἐργάσασθαι, ἀπονωτέρα ἔσαι αὐτῷ ἡ κατασκευὴ, ἐν τῇ προλαβούσῃ δημιουργίᾳ μελετηθεῖσα. Εἰ δή τι ἀκόλουθον ἐν τῷ ὑποδείγματι, φησὶν, ὁ λόγος ἔχει, ἐξεταζέον ἤδη ἡμῖν αὐτὸ τὸ προκείμενον· ἀντὶ γὰρ τῆς γραφικῆς τέχνης ἡ ψυχὴ προκείσθω τῷ λόγῳ, καὶ ἀντὶ τῶν χρωμάτων τῆς τέχνης ἡ τῶν στοιχείων νοείσθω φύσις, ἡ δὲ μίξις τῆς ποικίλης τῶν ἑτεροχροούντων βαφῆς, καὶ πάλιν ἡ δοθεῖσα ἡμῖν καθ' ὑπόθεσιν εἰς τὰ οἰκεῖα τούτων ἐπάνοδος τὴν συνδρομήν τε καὶ διάσασιν τῶν στοιχείων ὑπογραφέτω. Ὥς-
214 περ οὖν φαμὲν ἐν τῷ ὑποδείγματι μὴ ἀγνοεῖν τὴν βαφὴν
A τοῦ χρώματος τὸν τεχνίτην, μετὰ τὴν μίξιν πάλιν εἰς τὸ οἰκεῖον ἄνθος ἐπανελθοῦσαν, ἀλλ' ἐπιγινώσκειν τό τε ἐ-

rum, ut est consentaneum, forma quoque fuerit simul deleta, quonam signo eam consequetur postea anima, quum quod notum fuerat non permanserit?

MACR. Illa autem quum parum substitisset: Detur mihi, inquit, potestas fingendi aliquam rationem pro exemplo ad declarandum id, quod est propositum, etiam si ab eo, quod fieri potest, remotum videatur id, quod dicitur: detur enim pictorum arte fieri posse, ut non solum colores misceant ex contrariis, prout facere solent, ad formae similitudinem, sed etiam mixtos discernere, rursusque unicuique colorum, quae naturae congruat, tincturam reddere. Album igitur et nigrum, vel rubrum et fulvum, aut si qua alia tinctura ad similitudinem argumenti commiscetur, si rursus fuerit separata a mixtione cum altero, et per se fuerit, nihilominus cognosci ab artifice dicimus ipsam coloris speciem, nullamque ei oblivionem inesse vel rubri, vel nigri, si, quum diversi fuissent coloris in ea, quae fuit, inter se mixtione, rursus redierint ad tincturam, quae naturae conveniat; recordantem autem quomodo colores inter se fuissent temperati, scire quisnam cui immixtus qualem effecerit colorem, et quomodo eluto altero rursus ad suum redierit florem: ac si rursus per mixtionem opus sit simile efficere, minus laboriosa erit ei molitio, in priore opere exercita. Si igitur aliquid consequens in exemplo, inquit, oratio habet, examinandum iam nobis est ipsum propositum: nam pro arte pingendi anima proposita sit orationi, et pro coloribus artis in animo cogitetur elementorum natura; mixtio autem variae tincturae eorum, quae sunt diversorum colorum, rursusque datus nobis per hypothesin eorum ad sua reditus concursum atque diremptionem elementorum describat. Ut igitur in exemplo dicimus artificem non ignorare tincturam coloris, quae post mixtionem rursus ad suum colorem rediit, sed cognoscere et rubrum et nigrum,

ρυθρὸν καὶ τὸ μέλαν, καὶ εἴ τι ἕτερον διὰ τῆς ποιᾶς πρὸς τὸ ἑτερογενὲς κοινωνίας τὴν μορφὴν ἀπειργάσατο, οἷον μὲν ἦν ἐν τῇ μίξει, οἷον δὲ νῦν ἐξὶν ἐν τῷ κατὰ φύσιν γενόμενον, οἷον δὲ πάλιν ἔξαι, εἰ ὁμοιοτρόπως αὖθις ἀλλήλοις ἀναμιχθείη τὰ χρώματα· οὕτως εἰδέναι τὴν ψυχὴν τῶν συνδραμόντων στοιχείων πρὸς τὴν τοῦ σώματος
B κατασκευὴν, ᾧ ἐνεφύη, καὶ μετὰ τὴν διάλυσιν αὐτῶν τὴν φυσικὴν ἰδιότητα. Κἂν πόῤῥωθεν ἀπ' ἀλλήλων αὐτὰ ἡ φύσις ἀφέλκῃ διὰ τὰς ἐγκειμένας ἐναντιότητας, ἕκαστον αὐτῶν τῆς πρὸς τὸ ἐναντίον ἐπιμιξίας ἀπείργουσα, οὐδὲν ἧττον παρ' ἑκάστῳ ἔξαι, τῇ γνωσικῇ δυνάμει τοῦ οἰκείου ἐφαπτομένη καὶ παραμένουσα, ἕως ἂν εἰς ταὐτὸν πάλιν ἡ τῶν διεξώτων γένηται συνδρομὴ πρὸς τὴν τοῦ διαλυθέντος ἀναστοιχείωσιν, ὅπερ ἀνάστασις κυρίως καὶ ἔξι καὶ ὀνομάζεται.

C ΓΡΗΓ. Κἀγὼ εἶπον· Ἄριστά μοι δοκεῖς κατὰ πάροδον συμμεμαχηκέναι τῷ λόγῳ τῆς ἀναστάσεως· δύνασθαι γὰρ ἂν διὰ τούτων ἠρέμα προσαχθῆναι τοὺς ἀπομαχομένους τῇ πίστει πρὸς τὸ μὴ οἴεσθαι τῶν ἀδυνάτων εἶναι πάλιν ἀλλήλοις συνελθεῖν τὰ στοιχεῖα καὶ τὸν αὐτὸν ἀπεργάσασθαι ἄνθρωπον.

ΜΑΚΡ. Ναὶ, φησὶν ἡ διδάσκαλος, ἀληθὲς τοῦτο λέγεις· ἔξι γὰρ λεγόντων ἀκούειν τῶν πρὸς τὸν λόγον τοῦτον ἐνιστάμενων, ὅτι εἰς τὸ πᾶν κατὰ τὸ συγγενὲς γενομένης τῶν στοιχείων τῆς ἀναλύσεως, τίς μηχανὴ τὸ ἐν τῷδε θερμὸν ἐν τῷ καθ' ὅλου γενόμενον ἀμιγὲς τοῦ συγ-
D γενοῦς πάλιν ἀποκριθῆναι πρὸς τὸ συζῆναι τὸν ἀναπλασσόμενον ἄνθρωπον; εἰ γὰρ μὴ ἀκριβῶς τὸ ἴδιον ἐπανέλθοι, ἐκ δὲ τοῦ ὁμογενοῦς ἀντὶ τοῦ ἰδιάζοντός τι παραληφθείη, ἕτερον ἀνθ' ἑτέρου γενήσεται καὶ οὐκέτ' ἂν εἴη τὸ τοιοῦτον ἀνάστασις, ἀλλὰ καινοῦ ἀνθρώπου δημιουργία· εἰ δὲ χρὴ τὸν αὐτὸν εἰς ἑαυτὸν πάλιν ἐπανελθεῖν, δι' ὅλου εἶναι προσήκει τὸν αὐτὸν ἑαυτῷ, πᾶσι τοῖς τῶν στοιχείων μέρεσι τὴν ἐξ ἀρχῆς ἐπαναλαβόντα φύσιν.

ΓΡΗΓ. Οὐκοῦν, ὡς εἶπον, αὐτάρκης ἡμῖν καὶ πρὸς ταύτην τὴν ἔνστασιν ἡ τοιαύτη περὶ τῆς ψυχῆς ἂν εἴη ὑ-

et si quid aliud per certam quandam cum eo, quod est diversi generis, communionem formam effecit, quale quidem erat in mixtione, quale autem nunc est, quum rediit ad id, quod est secundum naturam, et quale rursus erit, si simili modo inter se rursus mixti fuerint colores: ita animam elementorum, quae concurrerint ad constitutionem corporis, cui ipsa inhaeserit, etiam post dissolutionem eorum naturalem scire proprietatem. Licet ea procul a se invicem abstrahat natura propter insitas contrarietates, unumquodque eorum a mixtione cum contrario prohibens, nihilominus apud unumquodque erit, cognoscendi vi proprium attingens iuxtaque permanens, donec in idem rursus disiunctorum fuerit congressus ad eius, quod fuit dissolutum, reformationem, quae quidem proprie resurrectio et est et nominatur.

GREG. Atque ego: Optime mihi videris, inquam, obiter defendisse resurrectionis doctrinam: posse enim per haec sensim adduci eos, qui fidei repugnant, ne putent fieri non posse, ut rursus inter se coeant elementa et eundem hominem efficiant.

MACR. Certe, inquit magistra, hoc verum dicis: licet enim audire dicentes eos, qui huic opinioni adversantur, quum in universitatem pro cognatione fiat elementorum resolutio, qui fieri potest, ut quod est hic calidum, si fuerit in universo, non mixtum cum eo, quod est eiusdem generis, rursus secernatur ad constituendum hominem,qui refingitur? nam nisi perfecte proprium redierit, sed pro peculiari aliquid ex eodem genere assumptum fuerit, alterum pro altero fiet, nec fuerit utique id, quod est eiusmodi, resurrectio, sed novi hominis creatio; si autem oportet eundem ad se ipsum rursus redire, omnino eundem sibi esse convenit, ut qui omnibus elementorum partibus pristinam receperit naturam.

GREG. Ergo, sicut dixi, etiam adversus hanc obiectionem eiusmodi de anima nobis sufficerit opinio, in

215 A πόληψις, τὸ οἷς ἐξ ἀρχῆς ἐνεφύη ϛοιχείοις, τούτοις καὶ μετὰ τὴν διάλυσιν παραμένειν, οἱονεὶ φύλακα τῶν οἰκείων καθισαμένην, καὶ ἐν τῇ ἀνακράσει τῇ πρὸς τὸ ὁμόφυλον οὐ διαφιεῖσαν τὸ ἴδιον ἐν τῷ λεπτῷ τε καὶ εὐκινήτῳ τῆς νοερᾶς δυνάμεως, οὐδεμίαν ἐν τῇ λεπτομερείᾳ τῶν ϛοιχείων ὑπομένουσαν πλάνην, ἀλλὰ συνδιαδύεσθαι τοῖς ἰδίοις καταμιγνυμένοις πρὸς τὸ ὁμόφυλον, καὶ μὴ ἀτονεῖν συνδιεξιοῦσαν αὐτοῖς, ὅταν πρὸς τὸ πᾶν ἀναχέωνται, ἀλλ' ἐν αὐτοῖς ἀεὶ μένειν, ὅπουπερ ἂν αὐτὰ καὶ ὅ-
B πως παρασκευάσῃ ἡ φύσις. Εἰ δὲ γένοιτο πάλιν παρὰ τὸ πᾶν οἰκονομούσης δυνάμεως τοῖς διαλυθεῖσι πρὸς τὴν συνδρομὴν τὸ ἐνδόσιμον· τότε, καθάπερ, εἰ μιᾶς ἀρχῆς ἐξαφθεῖεν σχοῖνοι διάφοροι, ὁμοῦ τε καὶ κατ' αὐτὸν αἱ πᾶσαι τῷ ἐφελκομένῳ συνέπονται, οὕτως ἐν μιᾷ τῆς ψυχῆς δυνάμει τῆς τῶν ϛοιχείων διαφορᾶς ἑλκομένης ἀθρόως ἐν τῇ συνδρομῇ τῶν οἰκείων ἡ τοῦ σώματος ἡμῶν σειρὰ διὰ τῆς ψυχῆς συμπλακήσεται, καταλλήλως ἑκάϛου πάλιν πρὸς τὸ ἀρχαῖον
C καὶ σύνηθες πλεκομένου τε καὶ περιπτυσσομένου τὸ γνώριμον.

ΜΑΚΡ. Ἀλλὰ καὶ τοῦτο τὸ ὑπόδειγμα, φησὶν ἡ διδάσκαλος, εἰκότως ἂν προστεθείη τοῖς ἐξητασμένοις εἰς ἀπόδειξιν τοῦ μὴ πολλὴν εἶναι τῇ ψυχῇ τὴν δυσκολίαν ἐν τοῖς ϛοιχείοις διακρίνειν τοῦ ἀλλοτρίου τὸ ἴδιον. Προκείσθω γὰρ τῷ κεραμεύοντι πηλὸς καθ' ὑπόθεσιν, πολὺς δὲ οὗτος εἶναι δεδόσθω, οὗ τὸ μέν τι πρὸς τὴν τῶν σκευῶν ἀπεργασίαν ἤδη τετύπωται, τὸ δὲ μέλλει· τὰ δὲ σκεύη πάντα μὴ ὁμοειδῶς ἀλλήλοις διεσχηματίσθω, ἀλλὰ
D τὸ μὲν πίθος, τὸ δὲ ἀμφορεύς, ἕτερον δὲ πινάκιον ἢ τρυβλίον ἢ ἄλλο τι τῶν κατὰ τὴν χρῆσιν ἐπιτηδείων ἔϛω. Ταῦτα δὲ πάντα μὴ εἷς κεκτήσθω, ἀλλ' ἴδιος ἑκάϛου δεσπότης ὑποκείσθω τῷ λόγῳ. Οὐκοῦν ἕως ἂν συνεϛήκῃ ταῦτα, φανερὰ τοῖς ἔχουσι γίνεται, κἂν συντριβῇ, πάλιν οὐδὲν ἧττον γνώριμα καὶ ἀπὸ τῶν συντριμμάτων τοῖς κεκτημένοις ἔϛαι, τί μὲν τὸ ἐκ τοῦ πίθου, ποῖον δὲ τὸ ἐκ τοῦ ποτηρίου τρύφος ἐϛίν. Εἰ δὲ καὶ πρὸς τὸν ἀκατέρ-
216 A γαϛον καταμιχθείη πηλὸν, πολὺ μᾶλλον ἀπλανὴς ἡ διά-

quibus ab initio inhaeserit elementis, in iis etiam post dissolutionem permanere, veluti custodem rerum suarum, et in temperatione cum eo, quod est eiusdem generis, proprium non dimittentem et in subtilitate et mobilitate intelligentis facultatis, nihil in tenuitate elementorum patientem erroris; sed una cum propriis, dum cum eo, quod est eiusdem generis, commiscentur, permeare, nec deficere una cum iis permeantem, quando in universitatem refunduntur, sed in iis semper manere, ubicunque ea et quomodo paraverit natura. Si autem ab ea potentia, quae res universas administrat, dissolutis rursus concedatur, ut concurrant, tunc, quemadmodum, si ab uno principio diversi funes suspensi fuerint, simul eodemque tempore id, quod attrahitur, omnes sequuntur, ita, dum una animae facultate diversa trahuntur elementa, repente iis, quae sunt propria, concurrentibus, corporis nostri catena per animam contexetur, unoquoque rursus ad antiquum et consuetum convenienter applicato, sibique notum amplectente.

MACR. Quin etiam hoc exemplum, inquit magistra, merito adiungi potest iis, quae sunt examinata ad probandum, non admodum difficile esse animae in elementis ab alieno discernere proprium. Proponatur enim per hypothesin lutum figulo, idque multum esse concedatur, cuius alia quaedam pars ad vasorum confectionem iam formata, alia vero formanda sit; vasa autem omnia nequaquam inter se similem figuram habeant, sed aliud sit dolium, aliud amphora, aliud discus vel patella, aut quidvis aliud ex iis, quae ad usum necessaria sunt. Haec autem omnia non unus possideat, sed suus cuique dominus ponatur oratione. Donec ergo constiterint haec, manifesta sunt iis, qui ea habent, et si contrita fuerint, rursum nihilominus etiam ex fragmentis nota possessoribus erunt, quodnam sit frustum dolii, quodnam poculi. Quodsi etiam cum rudi commixta fuerint luto, multo certius diiudicantur ab illo ea, quae iam sunt

γνωσις τῶν ἤδη κατειργασμένων ἀπ᾽ ἐκείνου γίνεται. Οὕτως οἷόν τι σκεῦος ὁ καθ᾽ ἕκαςόν ἐςιν ἄνθρωπος, ἐκ τῆς συνδρομῆς τῶν ςοιχείων ἀπὸ τῆς κοινῆς ὕλης τετυπωμένος, ἐν ἰδιάζοντι πάντως τῷ σχήματι πολλὴν πρὸς τὸ ὁμογενὲς τὴν διαφορὰν ἔχων, οὗ διαλυθέντος οὐδὲν ἧττον καὶ ἀπὸ τῶν λειψάνων ἡ κεκτημένη τὸ σκεῦος ψυχὴ τὸ οἰκεῖον ἐπιγινώσκει, οὔτε ἐν τῇ κοινωνίᾳ τῶν συντριμμάτων, οὔτε εἰ πρὸς τὸ ἀκατέργαςον τῆς τῶν ςοι-
B χείων ὕλης καταμιχθείη, τοῦ οἰκείου ἀφιςαμένη, ἀλλ᾽ ἀεὶ ἐπιςαμένη τὸ ἴδιον, οἷόν τε συνεχῶς ἐν τῷ σχήματι ἦν, καὶ μετὰ τὴν διάλυσιν ἐκ τῶν ἐναπομεινάντων σημείων τοῖς λειψάνοις, οὐ πλανωμένη περὶ τὸ ἴδιον.

ΓΡΗΓ. Ἀποδεξάμενος δὲ τὰ εἰρημένα, ὡς προσφυῶς τε καὶ οἰκείως πρὸς τὸν προκείμενον εὑρεθέντα σκοπόν· Ταῦτα μὲν οὕτως, εἶπον, λέγεσθαί τε καὶ πιςεύεσθαι καλῶς ἔχει· εἰ δέ τις τὸ ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου περὶ τῶν ἐν ᾅδου διήγημα πρὸς τὰ εἰρημένα προφέροι, ὡς οὐ
C συμβαῖνον τοῖς ἐξητασμένοις, πῶς χρὴ παρασκευάσασθαι πρὸς τὴν ἀπόκρισιν;

ΜΑΚΡ. Ἡ δέ· Σωματικώτερον μὲν, φησὶν, ὁ λόγος ἐκτίθεται τὸ διήγημα, πολλὰς δὲ κατασπείρει τὰς ἀφορμὰς, δι᾽ ὧν εἰς λεπτοτέραν θεωρίαν ἐκκαλεῖται τὸν ἐξεταςικῶς ἐπαΐοντα. Ὁ γὰρ χάσματι μεγάλῳ διείργων τὸ κακὸν ἐκ τοῦ κρείττονος, ςαγόνος τέ τινος διὰ δακτύλου νομιζομένης ἐπιδεᾶ ποιήσας τὸν ὀδυνώμενον, καὶ πατριάρχου κόλπον τῷ διὰ τῆς ζωῆς ταύτης κεκακωμένῳ ὑπο-
D θεὶς εἰς ἀνάπαυσιν, πρὸ τούτων δὲ καὶ τὸ τεθνάναι αὐτοὺς καὶ ταφῇ δοθῆναι διηγησάμενος οὐ μικρῶς ἀφίςησι τῆς κατὰ τὸ πρόχειρον διανοίας τὸν μὴ ἀσυνέτως τοῖς λεγομένοις ἑπόμενον. Ποίους γὰρ ὀφθαλμοὺς ἐπαίρει ἐν τῷ ᾅδῃ ὁ πλούσιος, τοὺς τῆς σαρκὸς ἐναφεὶς τῷ τάφῳ; πῶς δὲ τῆς φλογὸς ἐπαισθάνεται τὸ ἀσώματον; ποίαν δὲ γλῶσσαν καταψυχθῆναι διὰ τῆς ςαγόνος ἐπιθυμεῖ, τῆς σαρκίνης αὐτῷ μὴ παρούσης; τίς δὲ ὁ διακομίζων αὐτῷ τὴν ῥανίδα δάκτυλος; αὐτὸς δὲ ὁ κόλπος τῆς ἀναπαύσεως τίς; τῶν γὰρ σωμάτων ἐν τάφοις

elaborata. Sic veluti vas quoddam singuli sunt homines, concursu elementorum ex communi materia formati, in propria omnino figura multum differentes ab eo, quod est eiusdem generis. Qua dissoluta, nihilominus etiam ex reliquiis anima, quae possidet vas, proprium agnoscit, neque in communione fragmentorum, neque si cum rudi elementorum materia commixta fuerint, a proprio discedens, sed semper suum cognoscens, et quale esset, quum in figura consisteret, et post dissolutionem ex signis, quae in reliquiis manserunt, non errans circa proprium.

GREG. Quum quae dicta fuerant probavissem, ut proposito scopo apte accommodateque inventa: Haec quidem, inquam, sic recte habet et dici et credi; si quis autem quod in evangelio a domino narratum est de iis, qui sunt apud inferos, adversus ea, quae dicta sunt, proferat, tanquam non conveniens iis, quae sunt examinata, quomodo nos praeparare ad responsionem oportet?

MACR. Illa autem: Ad corpus quidem accomodatius, inquit, narrationem exponit sermo, multaque inspergit, quibus datur occasio, ut, qui audiens rem examinat, ad subtiliorem contemplationem provocetur. Nam qui vasto hiatu malum a meliori arcet, guttaque aliqua, quae digito instilletur, egentem facit eum, qui angitur, et ei, qui per hanc vitam malis fuerat affectus, patriarchae sinum ad quietem supposuit, ante haec autem narravit eos esse mortuos sepulturaeque mandatos, non parum abducit a sententia, quae in promptu est, eum, qui, quae dicuntur, sapienter sequitur. Quos enim oculos apud inferos attollit dives, qui carnis oculos in sepulcro dimiserat? quomodo flammam sentit id, quod est incorporeum? quam linguam refrigerari per guttam cupit, carnea quum ei non adsit? quis digitus ei stillam affert? ipse autem sinus requietis quis est? Quum enim corpora in sepulcris sint, anima

217 ὄντων, τῆς δὲ ψυχῆς οὔτε ἐν σώματι οὔσης, οὔτε ἐκ με-
A ρῶν συνεχούσης, ἄπορον ἂν εἴη τὴν τοῦ διηγήματος δια-
σκευὴν κατὰ τὸ προχείρως νοούμενον ἐφαρμόσαι τῇ ἀλη-
θείᾳ, εἰ μή τις μεταλάβοι τὰ καθ' ἕκαστον εἰς νοητὴν
θεωρίαν, ὥστε χάσμα τὸ διεῖργον τῶν ἀμίκτων τὴν κοι-
νωνίαν μὴ γῆς διάσασιν οἴεσθαι· τῷ γὰρ ἀσωμάτῳ καὶ
νοερῷ τίς πόνος διαπτῆναι τὸ χάσμα, καὶ εἰ μήκιστον ἦν,
διότι τὸ νοερὸν τῇ φύσει, ἐν ᾧπερ ἂν ἐθέλῃ, ἀχρόνως
γίνεται;

ΓΡΗΓ. Τί οὖν ἂν εἴη, φημὶ, τὸ πῦρ, ἢ τὸ χάσμα,
B ἢ τὰ λοιπὰ τῶν εἰρημένων, εἰ μὴ ἃ λέγεται, ἐστίν;

ΜΑΚΡ. Ἐμοὶ δοκεῖ, φησὶ, δόγματά τινα περὶ τῶν
κατὰ τὴν ψυχὴν ζητουμένων δι' ἑκάστου τούτων ὑποση-
μαίνειν τὸ εὐαγγέλιον· προειπὼν γὰρ πρὸς τὸν πλούσιον
ὁ πατριάρχης, ὅτι ἀπέσχες τῷ διὰ σαρκὸς βίῳ τῶν ἀγα-
θῶν τὴν μοῖραν, καὶ περὶ τοῦ πτωχοῦ τὸ ἴσον εἰπὼν,
ὅτι καὶ οὗτος ἀπέπλησε παρὰ τὸν βίον τῆς τῶν κακῶν
μετουσίας τὴν λειτουργίαν· εἶθ' οὕτως ἐπαγαγὼν περὶ
τοῦ χάσματος, ᾧ ἀπ' ἀλλήλων διατειχίζονται, μέγα τι
δόγμα διὰ τούτων ἔοικεν ὑποδεικνύειν τῷ λόγῳ. Τὸ δὲ
C δόγμα κατά γε τὸν ἐμὸν λόγον τοιοῦτόν ἐστι· Μονοειδὴς
ἦν τὸ κατ' ἀρχὰς ἡ τῶν ἀνθρώπων ζωή· Μονοειδῆ δὲ
λέγω τὴν ἐν μόνῳ τῷ ἀγαθῷ θεωρουμένην καὶ πρὸς τὸ
κακὸν ἀνεπίμικτον. Τὸν δὲ τοιοῦτον λόγον ὁ πρῶτος
τοῦ θεοῦ νόμος μαρτύρεται, ὁ τοῦ παντὸς μὲν δοὺς τῶν
ἐν τῷ παραδείσῳ καλῶν ἄφθονον τῷ ἀνθρώπῳ τὴν με-
τουσίαν, ἀπείργων δὲ μόνου ἐκείνου, ᾧ σύμμικτος ἦν ἐκ
τῶν ἐναντίων ἡ φύσις, τοῦ κακοῦ πρὸς τὸ καλὸν συγκε-
D κραμένου, θάνατον ἐπιθεὶς τῷ παρανομήσαντι τὴν ζη-
μίαν. Ἀλλ' ἑκουσίως ὁ ἄνθρωπος ἐν τῷ αὐτεξουσίῳ κι-
νήματι καταλιπὼν τὴν ἀμιγῆ τοῦ χείρονος μοῖραν, τὴν ἐκ
τῶν ἐναντίων σύγκρατον ζωὴν ἐπεσπάσατο. Οὐ μὴν ἀφῆ-
κεν ἡ θεία προμήθεια τὴν ἀβουλίαν ἡμῶν ἀδιόρθωτον.
Ἀλλ' ἐπειδὴ τοῖς παραβεβηκόσι τὸν νόμον ὁ κριθεὶς
ἐπ' αὐτῷ θάνατος ἀναγκαίως ἐπηκολούθησεν, διχῇ μερί-
218 σας τὴν ἀνθρωπίνην ζωὴν, εἴς τε τὴν διὰ σαρκὸς ταύτην
A

autem neque sit in corpore, neque ex partibus constet, difficile fuerit orationis contextum, si spectetur id, quod in promptu intelligitur, veritati accommodare, nisi quis singula traduxerit ad mentis contemplationem, ut hiatus, qui arcet coniunctionem eorum, quae non possunt misceri, non terrae spatium existimetur: incorporeo enim et intelligenti quis labor esset pervolare hiatum, quamvis maximum, quoniam id, quod natura est intelligens, ubicunque esse velit, absque tempore est?

GREG. Quid igitur fuerit, inquam, ignis aut hiatus, aut reliqua ex iis, quae dicta sunt, si non sunt ea, quae dicuntur?

MACR. Mihi videtur, inquit, evangelium per unumquodque horum significare quaedam dogmata de iis rebus, quae circa animam quaeruntur: nam quum diviti prius dixisset patriarcha: Recepisti partem bonorum in vita, quam transegisti per carnem: et de mendico itidem dixisset: Et hic in vita functus est munere malorum participationis; deinde sic subiecisset de hiatu, quo a se invicem disiunguntur, magnum quoddam dogma per haec orationis verba ab eo significari patet. Dogma autem, mea quidem sententia, est huiusmodi: Uniformis ab initio erat hominum vita. Uniformem autem dico, in solo bono consideratam, nec malo commixtam. Id vero, quod dico, testimonio suo comprobat prima dei lex, quae omnibus bonis, quae erant in paradiso, hominem abunde frui permisit, ab illo solo arcens, cui ex contrariis commixta erat natura, quum malum cum bono temperatum esset, mortem ei, qui contra legem fecisset, poenam apponens. Sed homo sua sponte motu liberi arbitrii, relicta sorte, quae non erat mixta deteriori, vitam ex contrariis temperatam ad se attraxit. Nec tamen divina providentia inopiam consilii nostri incorrectam reliquit. Sed quoniam violatores legis mors, cuius sententia iccirco lata erat, necessario est consequuta, bifariam partitus humanam vitam, et in hanc, quae per carnem trans-

καὶ εἰς τὴν ἔξω τοῦ σώματος μετὰ ταύτην, οὐ κατὰ τὸ ἴσον μέτρον τοῦ διαστήματος, ἀλλὰ τὴν μὲν βραχυτάτῳ τινὶ τῷ χρονικῷ περιγράψας ὅρῳ, τὴν δὲ παρατείνας εἰς τὸ ἀΐδιον, ἐξουσίαν ἔδωκεν ὑπὸ φιλανθρωπίας ἐν ᾧ τις βούλεται τούτων ἑκάτερον ἔχειν, τό τε ἀγαθὸν λέγω καὶ τὸ κακὸν, ἢ κατὰ τὸν βραχὺν τοῦτον καὶ ὠκύμορον βίον, ἢ κατὰ τοὺς ἀτελευτήτους ἐκείνους αἰῶνας, ὧν πέρας ἡ ἀπειρία ἐστιν. Ὁμωνύμως δὲ λεγομένου τοῦ τε ἀγαθοῦ
B καὶ τοῦ κακοῦ, καὶ ἑκατέρου τούτων πρὸς διπλῆν ἔννοιαν μεριζομένου, πρὸς νοῦν τε λέγω καὶ αἴσθησιν, καὶ τῶν μὲν τοῦτο ἐν ἀγαθοῦ μοίρᾳ κρινόντων, ὅπερ ἂν ἡδὺ τῇ αἰσθήσει δόξῃ, τῶν δὲ μόνον τὸ κατὰ διάνοιαν θεωρούμενον πεπιεσευκότων ἀγαθὸν καὶ εἶναι καὶ ὀνομάζεσθαι, οἷς μὲν ἀγύμναστός ἐστιν ὁ λογισμὸς, καὶ τοῦ βελτίονος ἀνεπίσκεπτος, οὗτοι ὑπὸ λαιμαργίας ἐν τῷ σαρκίνῳ βίῳ τὴν χρεωστουμένην τῇ φύσει τοῦ ἀγαθοῦ μοῖραν προαναλίσκουσιν, οὐδὲν τῷ μετὰ ταῦτα βίῳ ταμιευόμενοι· οἱ δὲ
C δὴ λογισμῷ διακριτικῷ τε καὶ σώφρονι τὴν ἑαυτῶν οἰκονομοῦντες ζωὴν, ἐν τῷ βραχεῖ τούτῳ βίῳ διὰ τῶν τὴν αἴσθησιν λυπούντων ἀνιαθέντες, τῷ ἐφεξῆς αἰῶνι τὸ ἀγαθὸν ταμιεύονται, ὥστε αὐτοῖς τῇ ἀϊδίῳ ζωῇ τὴν κρείττω λῆξιν συμπαρατείνεσθαι. Τοῦτο οὖν ἐστὶν, ὡς γε ὁ ἐμὸς λόγος, τὸ χάσμα, ὃ οὐχὶ γῆς διασχούσης γίνεται, ἀλλ' ὃ ἡ παρὰ τὸν βίον κρίσις πρὸς τὰς ἐναντίας προαιρέσεις διασχισθεῖσα ποιεῖ· ὁ γὰρ ἅπαξ τὸ ἡδὺ κατὰ
D τὸν βίον τοῦτον ἑλόμενος, καὶ μὴ θεραπεύσας ἐκ μετανοίας τὴν ἀβουλίαν, ἄβατον ἑαυτῷ μετὰ ταῦτα τὸν τῶν ἀγαθῶν χῶρον ἐργάζεται, τὴν ἀδιάβατον ταύτην ἀνάγκην, καθάπερ τι βάραθρον ἀχανές τε καὶ ἀπαρόδευτον καθ' ἑαυτοῦ διορύξας. Διό μοι δοκεῖ καὶ τὴν ἀγαθὴν τῆς ψυχῆς κατάσασιν, ἐν ᾗ τὸν τῆς ὑπομονῆς ἀθλητὴν ἀναπαύει ὁ λόγος, κόλπον τοῦ Ἀβραὰμ ὀνομάσαι· πρῶτος γὰρ οὗτος ὁ πατριάρχης τῶν πώποτε γεγονότων ἰσόρροπον ἔσχε τὴν ἐλπίδα τῶν μελλόντων τῆς ἀπολαύσεως τῶν παρόντων ἀν-
219 ταλλαξάμενος, ὅς γε πάντων γυμνωθεὶς, ἐν οἷς ἦν αὐτῷ
A κατ' ἀρχὰς ἡ ζωὴ, ἐν ἀλλοτρίοις εἶχε τὴν δίαιταν, διὰ

igitur, et in eam, quae post hanc extra corpus degitur, non pari spatio dimensus, sed illam quidem brevissimo quodam termino temporis circumscribens, hanc autem extendens in aeternum, sua benignitate potestatem dedit, in qua quis velit vita horum alterutrum habendi, bonum inquam et malum, aut in hac brevi citoque transeunte vita, aut in illis, quae nunquam desinunt, saeculis, quorum finis est infinitas. Quum autem aequivoce dicatur et bonum et malum, et utrumque eorum dividatur duplici notione, mente inquam et sensu: et alii quidem id in bonorum numero habeant, quodcunque iucundum visum fuerit: alii autem id solum, quod mente consideratur, bonum esse et nominari credant, ii quidem, quibus non est exercitata ratio, nec considerans id, quod melius est, hi prae ingluvie in carnali vita, eam, quae naturae debetur, boni sortem ante tempus consumunt, in futuram vitam nihil reservantes: alii vero, ratione discernendi vi praedita atque moderata vitam suam administrantes, in brevi hac vita per ea, quae sensui sunt molesta, dolore affecti, in futurum saeculum bonum reservant, adeo, ut ipsis una cum aeterna vita melior sors extendatur. Hic est ergo, ut equidem sentio, hiatus ille, qui non terra dehiscente existit, sed quem quod fertur in vita iudicium contrariis studiis divisum facit: nam qui semel, quod in hac vita suave est, elegerit, nec poenitentia permotus inopiam consilii curaverit, invium sibi posthac bonorum locum efficit, ut qui hanc inevitabilem necessitatem, tanquam barathrum quoddam vastum et quod transiri non potest, adversus se perfoderit. Quocirca bonum quoque animae statum, in quo patientiae athletam sermo requiescere facit, sinum Abrahae nominasse mihi videtur: primus enim hic patriarcha ex iis, qui unquam fuerunt, spe futurorum usum praesentium bonorum commutasse narratum est: qui quidem omnibus nudatus, in quibus ei vita ab initio erat, in alienis

τῆς παρούσης κακοπαθείας τὴν ἐλπιζομένην εὐκληρίαν
ἐμπορευόμενος. Ὥσπερ οὖν τὴν ποιὰν τοῦ πελάγους πε-
ριγραφὴν ἐκ καταχρήσεώς τινος ὀνομάζομεν κόλπον, οὕ-
τως μοι δοκεῖ τῶν ἀμετρήτων ἐκείνων ἀγαθῶν τὴν ἔν-
δειξιν ὁ λόγος τῷ τοῦ κόλπου διασημαίνειν ὀνόματι, ᾧ
πάντες οἱ δι' ἀρετῆς τὸν παρόντα διαπλέοντες βίον, ὅ-
ταν ἐντεῦθεν ἀπάρωσιν, ὥσπερ ἐν ἀκλύστῳ λιμένι τῷ ἀγα-
B θῷ κόλπῳ τὰς ψυχὰς ἐνορμίζουσι. Τοῖς δὲ λοιποῖς ἡ
τῶν φαινομένων αὐτοῖς ἀγαθῶν ξέρησις φλὸξ γίνεται τὴν
ψυχὴν διασμύχουσα, ῥανίδος τινὸς ἐκ τοῦ πελάγους τῶν
τοὺς ὁσίους περικλυζόντων ἀγαθῶν εἰς παραμυθίαν προς-
δεομένην, καὶ οὐ τυγχάνουσαν· γλῶσσαν δὲ καὶ ὀφθαλ-
μὸν, καὶ δάκτυλον καὶ τὰ λοιπὰ τῶν σωματικῶν ὀνομά-
των ἐν τῷ διαλόγῳ τῶν ἀσωμάτων βλέπων τῷ κατὰ χο-
χασμὸν ἡμῖν ἤδη νοηθέντι περὶ ψυχῆς λόγῳ συμφώνως
ἔχειν ὁμολογήσεις, ἐπισκεψάμενος τῶν ῥητῶν τὴν διά-
C νοιαν· ὡς γὰρ ὅλου τοῦ σώματος ἡ τῶν στοιχείων συν-
δρομὴ ποιεῖ τὴν οὐσίαν, οὕτως εἰκὸς καὶ τῶν ἐν τῷ σώ-
ματι μερῶν ἐκ τῆς αὐτῆς αἰτίας συμπληροῦσθαι τὴν φύ-
σιν. Εἰ οὖν πάρεσιν ἡ ψυχὴ τοῖς ἐκ τοῦ σώματος στοι-
χείοις πρὸς τὸ πᾶν ἀναμιχθεῖσιν, οὐ μόνον τὸ πλήρωμα
τῶν εἰς ὅλον τὸ σύγκριμα συνδεδραμηκότων γνωρίσει καὶ ἐν
αὐτοῖς ἔξαι, ἀλλ' οὐδὲ τὴν ἰδιάζουσαν ἑκάστου τῶν με-
ρῶν σύγασιν ἀγνοήσει, διὰ ποίων τῶν ἐν τοῖς στοιχείοις
μορίων ἀπετελέσθη τὰ ἐν ἡμῖν μέλη. Τὴν οὖν ἐν παντὶ
D οὖσαν τῷ τῶν στοιχείων πληρώματι καὶ ἐν τοῖς καθ' ἕκα-
στον εἶναι οὐδὲν ἔξω τοῦ εἰκότος ἐξίν· καὶ οὕτω πρὸς
τὰ στοιχεῖά τις βλέπων, οἷς ἐνυπάρχει τῇ δυνάμει τὰ
καθ' ἕκαστον μέλη τοῦ σώματος, δάκτυλόν τε περὶ αὐτὴν
εἶναι, καὶ ὀφθαλμὸν, καὶ γλῶσσαν, καὶ τὰ ἄλλα πάντα
μετὰ τὴν διάλυσιν τοῦ συγκρίματος τὴν γραφὴν λέγειν
ὑπονοῶν, τοῦ εἰκότος οὐχ ἁμαρτήσεται. Εἰ οὖν τὰ καθ' ἕ-
καστον ἀπάγει τὸν νοῦν τῆς σωματικῆς περὶ τοῦ διηγή-
ματος ὑπολήψεως, εἰκὸς δήπου καὶ τὸν μνημονευθέντα
νῦν ᾅδην μὴ τόπον τινὰ οὕτως ὀνομαζόμενον οἴεσθαι,
220 ἀλλά τινα κατάσασιν ζωῆς ἀειδῆ καὶ ἀσώματον, ᾗ τὴν
A

vitam agebat, praesente afflictione felicitatem, quae speratur, quaerens. Ut igitur certam aliquam pelagi circumscriptionem ex abusione quadam sinum nominamus, ita sermo nomine sinus immensorum illorum bonorum demonstrationem significare mihi videtur, in quo sinu bono omnes, qui per virtutem praesentis vitae cursum conficiunt, quando hinc solverint, tanquam in portu fluctibus non agitato, animas collocant. Ceteris autem eorum, quae bona iis videntur, privatio flamma exsistit animam perurens, quae gutta aliqua ex pelago bonorum, quae sanctos inundant, ad consolationem indiget, nec eam assequitur; linguam autem et oculum, et digitum, et cetera ex iis, quae ad corpus pertinent, nominibus quum in colloquio incorporeorum animadvertis, cum opinione, quae ex coniectura nobis iam excogitata est de anima, convenire fateberis, si inspexeris verborum sensum; ut enim totius corporis elementorum concursus essentiam constituit, ita consentaneum est etiam corporis partium ex eadem causa compleri naturam. Si igitur adest anima corporis elementis ad rerum universitatem refusis, non solum complementum eorum, quae ad totam coagmentionem concurrerunt, agnoscet et in iis erit, sed ne propriam quidem cuiusque partium constitutionem ignorabit, per quasnam elementorum particulas membra nostra effecta sunt. Quocirca quae est in universo elementorum complemento, eam etiam in singulis esse nequaquam a verisimilitudine alienum est: et sic ad elementa adspiciens quispiam, quibus insunt potestate singula membra corporis, digitum circa eam esse, et oculum, et linguam, et alia omnia post concreti dissolutionem literas sacras dicere existimans, a verisimili non aberrabit. Si ergo singula mentem abducunt ab eo, qui ad corpus referatur, narrationis intellectu, consentaneum utique est infernum quoque, cuius nunc facta est mentio, non putare locum aliquem, qui sic nominetur, sed quendam vitae statum incorporeum, qui vi-

ψυχὴν ἐμβιοτεύειν παρὰ τῆς γραφῆς διδασκόμεθα. Ἀλλὰ καὶ ἕτερον ἐν τῷ κατὰ τὸν πλούσιον καὶ πτωχὸν διηγήματι δόγμα μανθάνομεν, ὃ πολλὴν ἔξει πρὸς τὰ ἐξητασμένα τὴν οἰκειότητα. Ἐποίησεν ἐκεῖνον τὸν ἐμπαθῆ καὶ φιλόσαρκον, ἐπειδὴ τὸ ἄφυκτον εἶδε τῆς κατ' αὐτὸν συμφορᾶς, φροντίδα τῶν ὑπὲρ γῆς αὐτῷ κατὰ τὸ γένος προσηκόντων ἔχειν, καὶ τοῦ Ἀβραὰμ εἰπόντος μὴ ἀπρονόητον εἶναι τῶν ἐν σαρκὶ ζώντων τὸν βίον, ἀλλὰ κατ' ἐξουσίαν προκεῖσθαι αὐτοῖς τὴν ἐκ τοῦ νόμου καὶ τῶν
B προφητῶν χειραγωγίαν· ἔτι παραμένειν προσλιπαροῦντα τὸν πλούσιον, ὅπως ἂν ἐκ τοῦ παραδόξου πιθανὸν αὐτοῖς τὸ κήρυγμα γένοιτο, ὑπό τινος ἐκ τῶν νεκρῶν ἀναβεβιωκότος καταγγελλόμενον.

ΓΡΗΓ. Τί οὖν, εἶπον, ἐν τούτοις ἐστὶ τὸ δόγμα;

ΜΑΚΡ. Ἐπειδή, φησὶ, τοῦ μὲν Λαζάρου πρὸς τοῖς παροῦσιν ἄσχολός ἐστιν ἡ ψυχὴ, καὶ πρὸς οὐδὲν τῶν καταλειφθέντων ἑαυτὴν ἐπιστρέφει, ὁ δὲ πλούσιος οἷον ἰξῷ τινὶ τῇ σαρκίνῃ ζωῇ καὶ μετὰ θάνατον ἔτι προσίσχεται, ἣν οὐδὲ παυσάμενος τοῦ ζῆν καθαρῶς ἀπεδύ-
C σατο, ἀλλ' ἔτι αὐτῷ διὰ φροντίδος ἐστὶν ἡ σὰρξ καὶ τὸ αἷμα· δι' ὧν γὰρ τοὺς κοινωνοῦντας αὐτῷ τοῦ γένους ἐξαιρεθῆναι τῶν κακῶν δεῖται, δῆλός ἐστι μήπω τῆς σαρκικῆς ἐκλυθεὶς προσπαθείας· ἐκ τούτων, φησὶ, τῶν διηγημάτων οἰόμεθα τοῦτο δογματίζειν τὸν κύριον, τὸ δεῖν ὅτι μάλιστα τοὺς ἐν σαρκὶ βιοτεύοντας διὰ τῆς κατ' ἀρετὴν ζωῆς χωρίζεσθαί πως καὶ ἀπολύεσθαι τῆς πρὸς αὐτὴν σχέσεως, ἵνα μετὰ τὸν θάνατον μὴ πάλιν ἄλλου θανάτου δεώμεθα, τοῦ τὰ λείψανα τῆς σαρκώδους κόλ-
D λης ἀποκαθαίροντος· ἀλλὰ καθάπερ δεσμῶν τῇ ψυχῇ περιῤῥαγέντων, κοῦφος αὐτῇ καὶ ἄνετος ὁ πρὸς τὸ ἀγαθὸν γένηται δρόμος, οὐδεμιᾶς αὐτὴν σωματικῆς ἀχθηδόνος πρὸς ἑαυτὴν ἐφελκούσης. Ὡς εἴ τις ὅλος δι' ὅλων ἀποσαρκωθείη τῇ διανοίᾳ, πᾶσαν ψυχῆς κίνησίν τε καὶ ἐνέργειαν ἐν τοῖς θελήμασιν τῆς σαρκὸς ἀσχολῶν, ὁ τοιοῦτος οὐδὲ τῆς σαρκὸς ἔξω γενόμενος τῶν κατ' αὐτὴν παθημάτων χωρίζεται· ἀλλὰ καθάπερ οἱ ἐπὶ πλεῖον

deri non potest, in quo animam vitam degere literis sacris docemur. Quin etiam aliud in narratione de divite et mendico dogma discimus, quod magnam cum iis, quae sunt examinata, affinitatem habebit. Facit illum affectibus obnoxium et carnis amantem, postquam inevitabilem vidit suam calamitatem, curam gerere eorum, qui super terram genere ad eum attinebant, et quum dixisset Abraham non esse providentiae expertem eorum, qui in carne vivunt, vitam, sed abunde iis esse propositam legis et prophetarum doctrinam: adhuc perseverare obsecrantem divitem, ut ex inopinato iis probabilis fiat praedicatio, ab aliquo, qui ex mortuis revixisset, annuntiata.

GREG. Quodnam igitur, inquam, in his est dogma?

MACR. Quoniam, inquit, Lazari quidem anima in rebus praesentibus occupata est, et ad nihil eorum, quae sunt relicta, se convertit, dives autem tanquam visco aliquo carnali vitae etiam post mortem adhuc adhaeret, quam ne quum vivere quidem desierit, penitus exuit, sed adhuc ei curae est caro et sanguis (per hoc enim, quod eos, qui generis necessitudine ei coniuncti sunt, eximi a malis rogat, aperte ostendit se non a carnali affectu esse exsolutum): ex his, inquit, narrationibus existimamus dominum hoc decernere, oportere eos, qui in carne vivunt, per vitam ex virtute actam, quantum fieri potest, separari ac dissolvi ab ea, quae cum ipsa est, habitudine, ne post mortem alia rursus morte opus habeamus, quae reliquias carnalis glutinis expurget, sed, veluti vinculis circum animam ruptis, levis ei et expeditus fiat ad bonum cursus, nulla corporea aegritudine eam ad se attrahente. Nam si quis totus in omnibus cogitatione carnalis sit effectus, omni animi motu atque operatione in carnis voluntatibus versans, is ne si a carne quidem fuerit exemptus, ab eius affectionibus separatur; sed quemadmodum qui in foetidioribus locis diutius sunt commo-

ἐνδιατρίψαντες τοῖς δυσωδεστέροις τῶν τόπων, οὐδ' εἰ πρὸς τὸν εὔπνουν ἀέρα μετέλθοιεν, καθαρεύουσι τῆς ἀη-
221 A δίας, ἣν διὰ τῆς χρονιωτέρας ἐν αὐτῇ διαγωγῆς ἀνεμάξαντο, οὕτως οὐδὲ πρὸς τὸν ἀειδῆ καὶ λεπτὸν βίον τῆς μεταβολῆς γενομένης δυνατὸν ἂν εἴη τοὺς φιλοσάρκους μὴ ἐφέλκεσθαί τι πάντως τῆς σαρκικῆς δυσωδίας; Δι' οὗ πλέον αὐτοῖς ἡ ὀδύνη βαρύνεται, ὑλωδεστέρας ἐκ τῆς τοιαύτης περιςάσεως τῆς ψυχῆς γενομένης. Δοκεῖ δέ πως πρὸς τὴν τοιαύτην ὑπόληψιν συνᾴδειν ὃ παρά τινων λέγεται πολλάκις ὁρᾶσθαι περὶ τὰς τῶν σωμάτων θέσεις σκιοειδῆ τινὰ τῶν κατοιχομένων φαντάσματα. Εἰ γὰρ τῷ
B ὄντι γίνεται οὕτως, ἐλέγχεται τῆς ψυχῆς ἡ πέρα τοῦ δέοντος γινομένη νῦν πρὸς τὸν σαρκώδη βίον προσπάθεια, ὡς μηδὲ ἐξωσθεῖσαν τῆς σαρκὸς καθαρῶς αὐτὴν ἐθέλειν ἀφίπτασθαι, μηδὲ συγχωρεῖν τὴν παντελῆ γίνεσθαι πρὸς τὸ ἀειδὲς τοῦ σχήματος μεταποίησιν, ἀλλὰ παραμένειν ἔτι τῷ εἴδει μετὰ τὸ λυθῆναι τὸ εἶδος, καὶ ἔξω γενομένην ἤδη τούτου, πόθῳ τοῖς τῆς ὕλης ἐπιπλανᾶσθαι τόποις καὶ περὶ αὐτοὺς ἀναςρέφεσθαι.

ΓΡΗΓ. Ἐγὼ δὲ μικρὸν ἐπισχὼν καὶ ἀναλαβὼν τὴν τῶν εἰρημένων διάνοιαν· Δοκεῖ μοι, εἶπον, τοῖς περὶ τῶν
C παθῶν προεξητασμένοις ἀνακύπτειν ἐκ τῶν εἰρημένων τις ἐναντίωσις· εἰ γὰρ ἐκ τῆς πρὸς τὰ ἄλογα συγγενείας ἐνομίσθη τὰ τοιαῦτα τῆς ψυχῆς ἐν ἡμῖν ἐνεργεῖσθαι κινήματα, ὅσα προλαβὼν ὁ λόγος ἀπεριθμήσατο, θυμόν τε καὶ φόβον, καὶ ἐπιθυμίαν καὶ ἡδονὴν καὶ τὰ τοιαῦτα· εἴρηται δὲ τὴν μὲν ἀγαθὴν τῶν τοιούτων χρῆσιν ἀρετὴν εἶναι, διὰ δὲ τῆς ἐσφαλμένης τὴν κακίαν γίνεσθαι, προσέθηκεν δὲ ὁ λόγος ἑκάςου τε τῶν ἄλλων τὴν πρὸς τὸν
D κατ' ἀρετὴν βίον συνεισφορὰν καὶ ὅτι δι' ἐπιθυμίας πρὸς τὸν θεὸν ἀναγόμεθα, οἷόν τινι σειρᾷ κάτωθεν πρὸς αὐτὸν ἀνελκόμενοι· δοκεῖ δέ πως, ἔφην, ἐναντιοῦσθαι πρὸς τὸν σκοπὸν ὁ λόγος.

ΜΑΚΡ. Πῶς τοῦτο λέγεις;

ΓΡΗΓ. Ὅτι, εἶπον, τῆς ἀλόγου πάσης κινήσεως μετὰ τὴν κάθαρσιν ἐν ἡμῖν ἀποσβεσθείσης, οὐδὲ τὸ ἐπι-

rati, ne si ad suavem quidem aërem transierint, puri sunt a tetro odore, quem diuturniore in eo mora contraxerunt; ita ne ad formae expertem et subtilem quidem vitam mutatione facta fieri poterit, quin carnis amantes omnino aliquid attrahant carnalis foetoris. Quo fit, ut dolor iis magis ingravescat, quum huiusmodi circumstantia anima materiae magis inhaeserit. Huic autem opinioni videtur quodammodo convenire, quod dicatur a nonnullis saepenumero videri circa corporum sepulcra umbrae similia quaedam mortuorum spectra. Si enim revera ita fit, nunc convincitur animae, quae fuit supra modum in vitam carnalem affectio: adeo ut ne ex carne quidem extrusa plane ab ea velit avolare, neque concedere, ut perfecta figurae ad id, quod est formae expers, translatio fiat; sed adhuc maneat in forma, postquam soluta fuerit forma, et quum iam sit extra eam, desiderio in locis materiae oberret circumque ea versetur.

GREG. Ego vero quum paululum commoratus essem, eorumque, quae dicta fuerant, sententiam repetissem: Videtur mihi, inquam, iis, quae prius sunt examinata de animi perturbationibus, ex iis, quae dicta sunt, exoriri quaedam repugnantia: si enim ex ea, quae cum brutis intercedit, cognatione existimati sunt eiusmodi in nobis operari animi motus, quos prius enumeravit oratio, ira, metus, cupiditas, voluptas et quae sunt huiusmodi: et dictum est bonum quidem horum usum virtutem esse, per pravum autem vitium existere: adiecit item oratio et aliorum unumquodque conferre ad eam vitam, quae cum virtute transigeretur, et cupiditate ad deum nos erigi, velut catena quadam ex inferiori loco ad eos attractos: videtur quodammodo, inquam, contra propositum repugnare oratio.

MACR. Quomodo hoc dicis?

GREG. Quoniam, inquam, quum omnis motus a ratione alienus post purgationem in nobis sit exstinctus, ne

θυμητικὸν πάντως ἔξαι· τούτου δὲ μὴ ὄντος, οὐδ' ἂν ἡ τοῦ κρείττονος ἔφεσις εἴη, μηδενὸς ὑπολειφθέντος τῇ ψυχῇ τοιούτου κινήματος τοῦ πρὸς τὴν ὄρεξιν τῶν ἀγαθῶν ἐπεγείροντος.

222 A *MAKP.* Ἀλλὰ πρὸς τοῦτο, φησὶν, ἐκεῖνό φαμεν, ὅτι τὸ θεωρητικόν τε καὶ διακριτικὸν ἴδιόν ἐξι τοῦ θεοειδοῦς τῆς ψυχῆς, ἐπεὶ καὶ τὸ θεῖον ἐν τούτοις καταλαμβάνομεν. Εἰ τοίνυν εἴτε ἐκ τῆς νῦν ἐπιμελείας, εἴτε ἐκ τῆς μετὰ ταῦτα καθάρσεως ἐλευθέρα γένοιτο ἡμῖν ἡ ψυχὴ τῆς πρὸς τὰ ἄλογα τῶν παθῶν συμφυΐας, οὐδὲν πρὸς τὴν τοῦ καλοῦ θεωρίαν ἐμποδισθήσεται. Τὸ δὲ καλὸν ἑλκτικόν πώς ἐξιν κατὰ τὴν ἑαυτοῦ φύσιν παντὸς τοῦ πρὸς ἐκεῖνο βλέποντος. Εἰ οὖν πάσης κακίας ἡ ψυχὴ καθαρεύσειεν, ἐν τῷ καλῷ πάντως ἔξαι. Καλὸν δὲ τῇ ἑαυ-
B τοῦ φύσει τὸ θεῖον, πρὸς ὃ διὰ τῆς καθαρότητος τὴν συνάφειαν ἕξει, τῷ οἰκείῳ συναπτομένη. Εἰ οὖν τοῦτο γένοιτο, οὐκέτι ἔξαι χρεία τῆς κατ' ἐπιθυμίαν κινήσεως, ἣ πρὸς τὸ καλὸν ἡμῖν ἡγεμονεύσει· ὁ γὰρ ἐν σκότει τὴν διαγωγὴν ἔχων, οὗτος ἐν ἐπιθυμίᾳ τοῦ φωτὸς ἔξαι· εἰ δὲ ἐν τῷ φωτὶ γένοιτο, τὴν ἐπιθυμίαν ἐκδέξεται ἡ ἀπόλαυσις. Ἡ δὲ ἐξουσία τῆς ἀπολαύσεως ἀργὴν καὶ ἔωλον τὴν ἐπιθυμίαν ἐργάζεται. Οὐκοῦν οὐδεμία τις ἔξαι διὰ τούτων ζημία πρὸς τὴν τοῦ ἀγαθοῦ μετουσίαν, εἰ τῶν
C τοιούτων ἡ ψυχὴ κινημάτων ἐλευθέρα γένοιτο, πρὸς ἑαυτὴν πάλιν ἐπανελθοῦσα καὶ ἑαυτὴν ἀκριβῶς ἰδοῦσα, οἷα τῇ φύσει ἐξὶ, καὶ οἷον ἐν κατόπτρῳ καὶ εἰκόνι διὰ τοῦ οἰκείου κάλλους πρὸς τὸ ἀρχέτυπον βλέπουσα· ἀληθῶς γὰρ ἐν τούτῳ ἔξιν εἰπεῖν τὴν ἀκριβῆ πρὸς τὸ θεῖον εἶναι ὁμοίωσιν, ἐν τῷ μιμεῖσθαί πως τὴν ἡμετέραν ψυχὴν τὴν ὑπερκειμένην φύσιν· ἡ γὰρ ὑπεράνω παντὸς νοήματος φύσις, πόῤῥω τῶν ἐν ἡμῖν θεωρουμένων ἀφιδρυμένη, ἄλλῳ τινὶ τρόπῳ τὴν ἰδίαν ἐξοδεύει ζωὴν, καὶ οὐ, καθὼς
D ἡμεῖς νῦν ἐν τῷ ζῆν ἐσμέν· ἄνθρωποι μὲν γὰρ διὰ τὸ ἀεὶ πάντως ἐν κινήσει τὴν φύσιν εἶναι, καθ' ὅπερ ἂν ἡ ὁρμὴ τῆς προαιρέσεως γένηται, κατ' ἐκεῖνο φερόμεθα, οὐχ ὁμοίως τῆς ψυχῆς κατὰ τὸ ἔμπροσθεν ἑαυτῆς, ὡς ἂν

id quidem, quod ad cupiditatem est propensum, omnino erit. Quod autem si non sit, ne desiderium quidem eius, quod est melius, erit, nullo eiusmodi motu, qui excitet ad bonorum appetitum, in anima relicto.

MACR. Sed ad hoc, inquit, illud dicimus, quod vis contemplandi atque discernendi propria est eius animae partis, quae deo similis, quum etiam numen divinum in his comprehendamus. Si ergo sive ea, quae nunc adhibetur, diligentia, sive, quae fit postea, purgatione, anima nobis libera fuerit a coalescentia animi affectionum, quae ratione carent, nihil ad boni contemplationem impedietur. Bonum autem ex sua natura praeditum est vi quodammodo attrahendi quidquid ad illud adspiciat. Si igitur anima ab omni vitio pura fuerit, omnino erit in bono. Bonus autem sua natura est deus, quocum per puritatem coniunctionem habebit, cum proprio cohaerens. Si igitur hoc acciderit, non amplius erit opus cupiditatis motu, qui ad bonum nos deducat: nam qui in tenebris vitam degit, is lucem concupiscet; si autem in luce fuerit, post cupiditatem succedet, quod fruetur. Potestas autem fruendi otiosam et inanem cupiditatem reddit. Nihil ergo per haec detrimenti afferetur ad boni participationem, si anima fuerit libera ab eiusmodi motibus, rursus ad se reversa, et diligenter se intuens, qualisnam sit natura, et tanquam in speculo atque imagine per suam pulchritudinem ad exemplar respiciens: vere enim in hoc licet dicere eius perfectam esse deo assimilationem, quod anima nostra quodammodo imitetur supereminentem naturam: natura enim, quae omnem superat intellectum, procul ab iis, quae in nobis considerantur, sita, alio quodam modo vitam suam exigit, et non, sicut nos nunc sumus in eo, quod est vivere: nam homines quidem, propterea quod prorsus in motu semper natura est, quocumque nos impulerit impetus voluntatis, eo ferimur, quum non similiter affecta sit anima ab anteriore sua parte, ut aliquis

εἴποι τις, καὶ τὸ ὀπίσω διακειμένης· ἐλπὶς μὲν γαρ καθηγεῖται τῆς ἐπὶ τὸ πρόσω κινήσεως, μνήμη δὲ διαδέχεται πρὸς τὴν ἐλπίδα προϊοῦσαν τὴν κίνησιν. Ἀλλ' εἰ μὲν πρὸς τὸ φύσει καλὸν ἡ ἐλπὶς τὴν ψυχὴν ἄγοι, φαι-
223 δρὸν ἐνσημαίνεται τῇ μνήμῃ τὸ ἴχνος ἡ τῆς προαιρέσεως
A κίνησις· εἰ δὲ διαψευσθείη τοῦ κρείττονος, εἰδώλῳ τινὶ κάλλους παρασοφισαμένης τὴν ψυχὴν τῆς ἐλπίδος, ἡ ἐπακολουθοῦσα τοῖς γινομένοις μνήμη αἰσχύνη γίνεται. Καὶ οὕτως ὁ ἐμφύλιος οὗτος πόλεμος ἐν τῇ ψυχῇ συνίσταται, μαχομένης τῇ ἐλπίδι τῆς μνήμης, ὡς κακῶς καθηγησαμένης τῆς προαιρέσεως. Τοιοῦτον γάρ τινα νοῦν ἑρμηνεύει σαφῶς τὸ κατ' αἰσχύνην πάθος, ὅταν δάκνηται πρὸς τὸ
B ἀποβὰν ἡ ψυχὴ, οἷόν τινι μάστιγι τῇ μεταμελείᾳ καθαπτομένη τῆς ἀβουλήτου ὁρμῆς, καὶ εἰς συμμαχίαν κατὰ τοῦ λυποῦντος ἐφελκομένη τὴν λήθην. Ἀλλ' ἡμῖν μὲν διὰ τὸ πτωχὴ εἶναι τοῦ καλοῦ ἡ φύσις ἀεὶ πρὸς τὸ ἐνδέον ἴεται· καὶ ἡ τοῦ λείποντος ἔφεσις, αὕτη ἐστὶν ἡ ἐπιθυμητικὴ τῆς φύσεως ἡμῶν διάθεσις, ἤτοι σφαλλομένη δι' ἀκρισίαν τοῦ ὄντως καλοῦ, ἢ καὶ τυγχάνουσα οὗ τυχεῖν ἀγαθόν. Ἡ δὲ ὑπερέχουσα πᾶσαν ἀγαθὴν ἔννοιαν φύσις καὶ πάσης ὑπερκειμένη δυνάμεως, ἅτε μηδενὸς ἐνδεῶς ἔχουσα τῶν πρὸς τὸ ἀγαθὸν νοουμένων, αὐτὴ τῶν
C ἀγαθῶν οὖσα τὸ πλήρωμα, οὐδὲ κατὰ μετοχὴν καλοῦ τινὸς ἐν τῷ καλῷ γινομένη, ἀλλ' αὐτὴ οὖσα ἡ τοῦ καλοῦ φύσις, ὅ τί ποτε καὶ εἶναι τὸ καλὸν ὁ νοῦς ὑποτίθεται, οὔτε τὴν ἐλπιστικὴν κίνησιν ἐν ἑαυτῇ δέχεται· πρὸς γὰρ τὸ μὴ παρὸν ἡ ἐλπὶς ἐνεργεῖται μόνον· ὃ δὲ ἔχει τις, τί καὶ ἐλπίζει, φησὶν ὁ ἀπόστολος; οὔτε τῆς μνημονευτικῆς ἐνεργείας πρὸς τὴν τῶν ὄντων ἐπιζήμιην ἐπιδεής ἐστι· τὸ γὰρ βλεπόμενον τοῦ μνημονευθῆναι οὐκ ἐπιδέεται. Ἐπεὶ δὲ οὐ παντὸς ἀγαθοῦ ἐπέκεινα ἡ θεία φύσις, τὸ δὲ ἀγαθὸν
D ἀγαθῷ φίλον πάντως· διὰ τοῦτο ἑαυτὴν βλέπουσα, καὶ ὃ ἔχει, θέλει, καὶ ὃ θέλει, ἔχει, οὐδὲν τῶν ἔξωθεν εἰς ἑαυτὴν δεχομένη. Ἔξω δὲ αὐτῆς οὐδὲν, ὅτι μὴ ἡ κακία μόνη, ἥτις, κἂν παράδοξον ᾖ, ἐν τῷ μὴ εἶναι τὸ εἶναι ἔχει· οὐ γὰρ ἄλλη τίς ἐστι κακίας γένεσις, εἰ μὴ ἡ τοῦ

dixerit, et a posteriore: nam spes quidem dux est motus, qui ulterius tendit; memoria autem excipit motum, qui ad spem progreditur. Sed si quidem ad id, quod natura bonum est, spes animam ducat, iucundum vestigium memoriae imprimit motus voluntatis; sin autem frustrata fuerit eo, quod melius est, quum spes imagine quadam pulchritudinis deceperit animam, memoria, quae facta sequitur, fit pudor. Et sic intestinum hoc bellum in anima conflatur, memoria adversus spem pugnante, quod male duxerit voluntatem. Nam talem quendam animi sensum aperte indicat pudoris affectus, quum ex eo, quod evenit, anima mordetur, quae veluti quodam flagello poenitentia inconsultum impetum perstringit et ad ferendum auxilium adversus dolorem oblivionem attrahit. Sed nobis quidem, propterea quod pauper est boni natura, semper ad id, quod est egenum, fertur: et eius, quod deest, desiderium, haec est naturae nostrae ad cupiditatem propensa affectio, quae vel propter sinistrum iudicium frustratur eo, quod est vere bonum, vel etiam assequitur id, quo potiri bonum est. Natura autem, quae omnem bonam cogitationem superat, et omnem facultatem supereminet, ut quae nullius indigeat earum rerum, quae circa bonum intelliguntur, quum ipsa sit bonorum plenitudo, nec, particeps alicuius boni, in bono versetur, sed ipsa sit boni natura, quodcumque etiam esse bonum mens ponit, neque sperandi motum in se suscipit (ad id enim quod non adest, spes solum operatur: quod autem quis habet, quid etiam sperat, inquit apostolus?), neque memoriae operatione ad rerum scientiam opus habet: quod enim videtur, recordatione non indiget. Quoniam ergo divina natura omne bonum superat, bonum autem bono omnino amicum est, propterea se ipsam adspiciens, et quod habet, vult, et quod vult, habet, nihil eorum, quae sunt extrinsecus, in se ipsam suscipiens. Extra eam autem nihil est, nisi solum vitium; quod quidem, etiam si dictu admirabile est, in eo, quod non est, suam essentiam habet: non est enim ulla alia vitii generatio, nisi eius, quod

ὄντος χέρησις. Τὸ δὲ κυρίως ὂν ἡ τοῦ ἀγαθοῦ φύσις
ἐστίν. Ὃ οὖν ἐν τῷ ὄντι οὐκ ἔστιν, ἐν τῷ μὴ εἶναι πάν-
τως ἐστίν. Ἐπειδὰν οὖν καὶ ἡ ψυχὴ, πάντα τὰ ποικίλα
τῆς φύσεως ἀποσκευασαμένη κινήματα, θεοειδὴς γένηται,
224 καὶ ὑπερβᾶσα τὴν ἐπιθυμίαν ἐν ἐκείνῳ ᾖ, πρὸς ὃ ὑπὸ
A τῆς ἐπιθυμίας τέως ἐπῄρετο, οὐκέτι τινὰ σχολὴν δίδωσιν
ἐν ἑαυτῇ οὔτε τῇ ἐλπίδι, οὔτε τῇ μνήμῃ· τὸ μὲν γὰρ ἐλ-
πιζόμενον ἔχει, τῇ δὲ περὶ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν
ἀσχολίᾳ τὴν μνήμην ἐκκρούει τῆς διανοίας· καὶ οὕτως
τὴν ὑπερέχουσαν μιμεῖται ζωὴν τοῖς ἰδιώμασι τῆς θείας
φύσεως ἐμμορφωθεῖσα, ὡς μηδὲν ὑπολειφθῆναι τῶν ἄλ-
λων αὐτῇ, πλὴν τῆς ἀγαπητικῆς διαθέσεως, φυσικῶς τῷ
B καλῷ προσφυομένης· τοῦτο γὰρ ἔχειν ἡ ἀγάπη, ἡ πρὸς
τὸ καταθύμιον ἐνδιάθετος σχέσις. Ὅταν οὖν ἁπλῆ καὶ
μονοειδὴς καὶ ἀκριβῶς θεοείκελος ἡ ψυχὴ γενομένη εὕρῃ
τὸ ἀληθῶς ἁπλοῦν τε καὶ ἄϋλον ἀγαθὸν ἐκεῖνο, τὸ μόνον
τῷ ὄντι ἀγαπητὸν καὶ ἐράσμιον, προσφύεταί τε αὐτῷ καὶ
συνανακιρνᾶται διὰ τῆς ἀγαπητικῆς κινήσεώς τε καὶ ἐνερ-
γείας, πρὸς τὸ ἀεὶ καταλαμβανόμενόν τε καὶ εὑρισκόμενον
ἑαυτὴν μορφοῦσα, καὶ τοῦτο γινομένη διὰ τῆς τοῦ ἀγα-
C θοῦ ὁμοιότητος, ὅπερ ἡ τοῦ μετεχομένου φύσις ἐστίν, ἐπι-
θυμίας δὲ ἐν ἐκείνῳ μὴ οὔσης διὰ τὸ μηδέ τινος τῶν
ἀγαθῶν ἔνδειαν ἐν αὐτῷ εἶναι, ἀκόλουθον ἂν εἴη καὶ τὴν
ψυχὴν, ἐν τῷ ἀνενδεεῖ γινομένην, ἐκβάλλειν ἀφ' ἑαυτῆς
καὶ τὴν ἐπιθυμητικὴν κίνησίν τε καὶ διάθεσιν, ἣ τότε γί-
νεται μόνον, ὅταν μὴ παρῇ ποθούμενον. Τοῦ δὲ τοι-
οὑτου δόγματος καὶ ὁ θεῖος ἀπόστολος ἡμῖν καθηγήσατο,
πάντων τῶν νῦν ἐν ἡμῖν καὶ ἐπὶ τῷ κρείττονι σπουδαζο-
μένων παῦλάν τινα καὶ καταξολὴν προαγγείλας, μόνης δὲ
D τῆς ἀγάπης οὐχ εὑρὼν τὸν ὅρον· Προφητεῖαι γὰρ, φησὶ,
καταργηθήσονται καὶ γνώσεις παύσονται· ἡ δὲ ἀγάπη
οὐδέποτε ἐκπίπτει, ὅπερ ἴσον ἐστὶ τῷ ἀεὶ ὡσαύτως ἔχειν·
ἀλλὰ καὶ πίστιν καὶ ἐλπίδα συμπαραμεμενηκέναι τῇ ἀγά-
πῃ λέγων, πάλιν καὶ τούτων αὐτὴν ὑπερτίθησιν εἰκότως·
ἡ γὰρ ἐλπὶς μέχρις ἐκείνου κινεῖται, ἕως ἂν μὴ παρῇ ἡ

est, privatio. Quod autem proprie est, boni natura est. Quod ergo in eo, quod est, non est, in eo, quod non est, omnino est. Postquam ergo etiam anima, segregatis omnibus variis naturae motibus, deo similis evaserit, et superata cupiditate in illo fuerit, ad quod cupiditate tunc excitabatur, non amplius quendam consistendi in se locum dat neque spei, neque memoriae: nam quod quidem sperabatur, habet; occupatione autem fruendorum bonorum memoriam e mente expellit: et sic superiorem imitatur vitam, divinae naturae proprietatibus informata, adeo ut nihil aliorum ei sit reliquum, praeter diligendi affectionem, quae naturaliter bono adhaeret: haec est enim dilectio, insita, inquam, affectio ad id, quod animo gratum est. Quando ergo simplex et uniformis, deoque plane similis facta anima invenerit illud vere simplex et materiae expers bonum, quod solum re vera diligendum atque amabile est, adhaerescit ei, et cum eo commiscetur per diligendi motum actionemque, ad id, quod semper comprehenditur atque invenitur, se conformans, idque evadens per boni similitudinem, quod est natura eius, quod participatur: quum autem in illo non sit cupiditas, propterea quod in eo nullius boni est indigentia, consequens fuerit, ut anima quoque, quum in eo est, quod non indiget, ex se eiiciat et concupiscendi motum et affectionem, quae tunc solum existit, quando id, quod desideratur, non adest. Huius autem dogmatis etiam divinus apostolus nobis dux fuit, qui omnium, quorum studio nunc trahimur ad id quoque, quod est melius, cessationem quandam et oppressionem praenuntiavit: solius autem caritatis non invenit terminum: Nam prophetiae, inquit, abolebuntur, et cognitiones cessabunt; caritas autem nunquam excidit, quod perinde est ac si dixisset: semper eadem est. Sed et fidem et spem dicens simul mansisse cum caritate, rursus etiam his eam praeponit, idque merito: nam spes eo usque movetur,

τῶν ἐλπιζομένων ἀπόλαυσις, καὶ ἡ πίστις ὡσαύτως ἔρεισμα
τῆς τῶν ἐλπιζομένων ἀδηλίας γίνεται· οὕτω γὰρ αὐτὴν
καὶ ὡρίσατο λέγων· Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστα-
225 σις. Ἐπειδὰν δὲ ἔλθῃ τὸ ἐλπιζόμενον, τῶν ἄλλων ἀπερ-
A μούντων πάντων ἡ κατὰ τὴν ἀγάπην ἐνέργεια μένει, τὸ
διαδεχόμενον αὐτὴν οὐχ εὑρίσκουσα. Διὸ καὶ προτερεύει
τῶν τε κατ᾽ ἀρετὴν κατορθουμένων ἁπάντων καὶ τῶν τοῦ
νόμου παραγγελμάτων. Εἰ οὖν ἐπὶ τοῦτό ποτε τὸ τέλος
φθάσειεν ἡ ψυχή, ἀνενδεῶς ἕξει τῶν ἄλλων, ἅτε δὴ τοῦ
πληρώματος περιδεδραγμένη τῶν ὄντων, καὶ δοκεῖ μόνη πως
αὐτῆς τῆς θείας μακαριότητος ἐν ἑαυτῇ σώζειν τὸν
χαρακτῆρα· ἥ τε γὰρ ζωὴ τῆς ἄνω φύσεως ἀγάπη ἐξίν,
B ἐπειδὴ τὸ καλὸν ἀγαπητὸν πάντως ἐξὶ τοῖς γινώσκουσι·
γινώσκει δὲ ἑαυτὸ τὸ θεῖον· ἡ δὲ γνῶσις ἀγάπη γίνεται,
διότι καλόν ἐξι φύσει τὸ γινωσκόμενον. Τοῦ δὲ ἀληθῶς
καλοῦ ὁ ὑβριστὴς οὐ προσάπτεται κόρος. Κόρου δὲ τὴν
ἀγαπητικὴν πρὸς τὸ καλὸν σχέσιν οὐ διακόπτοντος, ἀεὶ
ἡ θεία ζωὴ δι᾽ ἀγάπης ἐνεργηθήσεται, ἥ καλή τε κατὰ
φύσιν ἐξὶ, καὶ ἀγαπητικῶς πρὸς τὸ καλὸν ἐκ φύσεως
ἔχει· καὶ ὅρον τῆς κατὰ τὴν ἀγάπην ἐνεργείας οὐκ ἔχει,
ἐπειδὴ οὐδὲ τοῦ καλοῦ τι πέρας καταλαμβάνεται, ὡς
C συναπολήγειν τῷ πέρατι τοῦ καλοῦ τὴν ἀγάπην· μόνῳ
γὰρ τῷ ἐναντίῳ τὸ καλὸν περατοῦται. Οὗ δὲ ἡ φύσις
ἀνεπίδεκτός ἐξι τοῦ χείρονος, πρὸς τὸ ἀπέραντόν τε καὶ
ἀόριστον ἀγαθὸν προελεύσεται. Ἐπεὶ οὖν ἑλκτικὴ τῶν
οἰκείων πᾶσα φύσις ἐξὶν, οἰκεῖον δέ πως τῷ θεῷ τὸ ἀν-
θρώπινον, ἅτε δὴ φέρον ἐν ἑαυτῷ τοῦ ἀρχετύπου μιμή-
ματα, ἕλκεται κατὰ πᾶσαν ἀνάγκην πρὸς τὸ θεῖόν τε καὶ
συγγενὲς ἡ ψυχή· δεῖ γὰρ πάντη καὶ πάντως τῷ θεῷ
D ἀποσωθῆναι τὸ ἴδιον· ἀλλ᾽ εἰ μὲν κουφὴ καὶ ἀπέριττος
τύχοι, μηδεμιᾶς σωματικῆς ἀχθηδόνος αὐτὴν πιεζούσης,
ἡδεῖα καὶ εὔκολος αὐτῇ ἡ πρὸς τὸν ἐπισπώμενον προς-
χώρησις γίνεται. Εἰ δὲ τοῖς τῆς προσπαθείας ἴλοις εἰς
τὴν πρὸς τὰ ὑλώδη σχέσιν καταπαρείη, οἷόν τι πάσχειν
εἰκὸς ἐν τοῖς συμπτώμασι τῶν σεισμῶν τὰ ἐμπιεσθέντα
226 τοῖς χώμασι σώματα· προκείσθω δὲ καθ᾽ ὑπόθεσιν τὸ
A

donec non licet frui iis rebus, quae sperantur: et fides similiter est fundamentum incertitudinis earum rerum, quae sperantur: nam et ita eam definiit, dicens: Est autem fides earum rerum, quae sperantur, substantia. Quum autem venerit quod speratur, aliis quiescentibus omnibus manet ea, quae ex dilectione fit, operatio, quod ei succedat, non inveniens. Quamobrem etiam universarum actionum, quae cum virtute perficiuntur, atque legis praeceptorum principatum tenet. Si igitur ad hunc finem aliquando anima pervenerit, non indigebit aliis, quippe rerum universarum plenitudinem complexa, et videtur sola quodammodo ipsius divinae beatitudinis in se servare signum: nam superae naturae vita dilectio est, quoniam bonum omnino amabile est iis, qui cognoscunt (deus autem se ipsum cognoscit): cognitio autem dilectio fit, quoniam bonum est natura id, quod cognoscitur. Id autem, quod vere bonum est, non attingit insolens satietas. Satietate autem dilectionis ad id, quod bonum est, habitudinem non interrumpente, semper divina vita per dilectionem operabitur, quae bona est secundum naturam, et a natura habet, quod bonum diligat: et terminum diligendi actionis non habet, quoniam ne boni quidem aliquis finis deprehenditur, ut simul cum fine desinat dilectio: nam solo contrario bonum finitur. Cuius autem natura, quod est deterius, suscipere non potest, id ad infinitum et interminatum bonum procedet. Quum igitur omnis natura vim habeat attrahendi quae ipsi conveniunt, conveniat autem quodammodo deo genus humanum, quippe ferens in se ipso illius exemplaris similitudinem: necesse omnino est, ut anima trahatur ad id, quod divinum et cognatum est (oportet enim usque quaque ac prorsus deo servari proprium); sed si fuerit levis et simplex, nulla eam premente molestia corporea, iucundus et facilis ei fit accessus ad eum, qui attrahit. Sin autem affectionis clavis ad eum habitum, qui cum materialibus est coniunctus, affixa fuerit, quale quidpiam pati verisimile est in ruinis terrae motuum corpora aggeribus oppressa (proponatur au-

μὴ βεβαρῆσθαι μόνον αὐτὰ τοῖς συμπτώμασιν, ἀλλὰ καὶ διαπεπερονῆσθαί τισιν ὀβελοῖς ἢ ξύλοις τοῖς ἐνευρεθεῖσι τῷ χώματι· ὅπερ οὖν εἰκὸς ὑπομεῖναι τὰ οὕτω διακείμενα σώματα, παρὰ τῶν οἰκείων τῆς συμπτώσεως ὁσίας ἕνεκεν ἐξελκόμενα· ξανθήσεται γὰρ πάντως καὶ σπαραχθήσεται, καὶ πᾶν ὁτιοῦν τῶν χαλεπωτάτων πείσεται, τοῦ χώματος αὐτὰ καὶ τῶν ἥλων διὰ τὴν τῶν ἕφελκομένων βίαν καταξαινόντων· τοιοῦτόν τί μοι δοκεῖ καὶ περὶ
B τὴν ψυχὴν γίνεσθαι πάθος, ὅταν ἡ θεία δύναμις ὑπὸ φιλανθρωπίας ἐκ τῶν ἀλόγων τε καὶ ὑλικῶν συμπτωμάτων ἐφέλκηται τὸ ἴδιον· οὐ γὰρ μισῶν, οὐδ' ἀμυνόμενος ἐπὶ τῇ κακῇ ζωῇ κατά γε τὸν ἐμὸν λόγον ἐπάγει τοῖς ἐξημαρτηκόσι τὰς ὀδυνηρὰς διαθέσεις ὁ θεὸς ὁ ἀντιποιούμενός τε καὶ πρὸς ἑαυτὸν, ἕλκων πᾶν, ὅ τί περ αὐτοῦ χάριν ἦλθεν εἰς γένεσιν· ἀλλ' ὁ μὲν ἐπὶ τῷ κρείττονι σκοπῷ πρὸς ἑαυτὸν, ὅς ἐστι πηγὴ πάσης μακαριότητος, τὴν ψυχὴν ἐπισπᾶται· ἐπισυμβαίνει δὲ κατ' ἀνάγκην ἡ ἀλγεινὴ διάθεσις τῷ ἑλκομένῳ· καὶ ὥςπερ τὴν ἐμμιχθεῖ-
C σαν τῷ χρυσίῳ ὕλην οἱ διὰ πυρὸς ἐκκαθαίροντες οὐ μόνον τὸ νόθον τῷ πυρὶ τήκουσιν, ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην καὶ τὸ καθαρὸν τῷ κιβδήλῳ συγκατατήκεται, κἀκείνου δὲ δαπανωμένου τοῦτο μένει, οὕτω καὶ τῆς κακίας τῷ καθαρσίῳ πυρὶ δαπανωμένης ἀνάγκη πᾶσα καὶ τὴν ἐνωθεῖσαν αὐτῇ ψυχὴν ἐν τῷ πυρὶ εἶναι, ἕως ἂν τὸ κατεσπαρμένον νόθον καὶ ὑλῶδες καὶ κίβδηλον ἀπαναλωθῇ, τῷ πυρὶ δαπανώμενον. Καὶ καθάπερ εἴ τινι σχοινίῳ
D πηλὸς τῶν κολλωδεστέρων διὰ βάθους περιβλασθείη, εἶτα διά τινος λεπτοῦ χωρήματος ἡ ἀρχὴ διεξαχθείη τῆς σχοινίου, καὶ βιαίως τις ἐπὶ τὰ ἐντὸς ἐκ τοῦ ἄκρου τῆν σχοῖνον ἐφέλκοιτο, ἀνάγκη πᾶσα τὴν μὲν ἔπεσθαι τῷ ἐπισπωμένῳ, τὸν δὲ περιπλασθέντα πηλὸν ἐκ τῆς βιαίας ὁλκῆς ἔξω τῆς τρυμαλιᾶς μένειν τῆς σχοίνου ἀποξυόμενον, καὶ αἴτιον αὐτῇ γίνεσθαι τοῦ μὴ εὐοδοῦσθαι κατὰ τὴν πάροδον, ἀλλὰ βιαίαν ὑπομένειν ἐκ τοῦ ἐφελκομένου τὴν τάσιν· τοιοῦτόν τί μοι δοκεῖ καὶ τὸ περὶ τὴν ψυχὴν ἐννοεῖν,
227 ταῖς ὑλικαῖς τε καὶ γεώδεσι προσπαθείαις ἐνειλημθεῖσαν
A

tem per hypothesin, ea non solum gravata fuisse ruinis, sed etiam transfixa aliquibus verubus aut lignis in aggere inventis): quod igitur verisimile est sufferre sic affecta corpora, dum a necessariis ex ruina, ut iusta iis fiant, extrahuntur (laniabuntur enim prorsus ac discerpentur, et quidvis gravissimorum patientur, aggere et clavis propter vim attrahentium ea dilacerantibus): eiusmodi quippiam etiam animae accidere mihi videtur, quando divina potentia propter benignitatem ex ruinis rationis expertibus et materialibus proprium attrahit: neque enim odio habens, neque propter malam vitam ulciscens, ut ego quidem sentio, eos, qui peccaverunt doloribus afficit deus, qui vendicat et ad se attrahit quicquid eius gratia ad generationem venit; sed ille quidem meliori scopo ad se, qui est fons omnis beatitudinis, animam attrahit: accidit autem necessario ei, quod attrahitur, acerba affectio: et quemadmodum illi, qui materiam auro immixtam igne expurgant, non solum id, quod adulterinum est, igne liquefaciunt, sed omnino necessarium est, ut purum quoque una cum adulterino liquefiat, illoque consumpto hoc maneat: ita etiam, dum vitium igne purgante consumitur, omnino necesse est, ut unita quoque ei anima in igne sit, donec quicquid inspersum est adulterinum, materiaeque particeps atque fucatum, aboleatur, igne consumptum. Et quemadmodum si cui funiculo lutum tenacius alte fuerit circumlitum, deinde per angustum aliquod spatium traiiciatur funis initium, et violenter aliquis introrsum ab extremo funem attrahat, necesse omnino est, ut funis quidem sequatur attrahentem; lutum autem, circumlitum ex violenta attractione, extra foramen fune abrasum maneat, eique causa existat, quominus in transitu recta feliciter pergat, sed ab attrahente violentam extensionem patiatur: tale quid mihi videtur etiam de anima esse cogitandum, eam materialibus atque terrenis

κάμινειν καὶ διατείνεσθαι, τοῦ μὲν θεοῦ τὸ ἴδιον πρὸς ἑαυτὸν ἕλκοντος, τοῦ δ' ἀλλοτρίου διὰ τὸ συμφυῆναί πως αὐτῇ βιαίως ἀποξυομένου, καὶ τὰς ὁρμιείας αὐτῇ καὶ ἀνυποστάτους ἀλγηδόνας ἐπάγοντος.

ΓΡΗΓ. Οὐκοῦν, εἶπον, οὐχ ἡ θεία κρίσις, ὡς ἔοικε, κατὰ τὸ προηγούμενον τοῖς ἐξημαρτηκόσιν ἐπάγει τὴν κόλασιν, ἀλλὰ ἡ μέν, ὡς ὁ λόγος ἀπέδειξεν, ἀγαθὸν ἐνεργεῖ μόνον τοῦ κακοῦ ἀποκρίνουσα, καὶ πρὸς τὴν τῆς μα-
Β καριότητος κοινωνίαν ἐπισπωμένη· ὁ δὲ τῆς συμφυΐας διασπασμὸς ὀδύνη τῷ ἑλκομένῳ γίνεται.

ΜΑΚΡ. Οὕτω, φησὶν ἡ διδάσκαλος, καὶ ὁ ἐμὸς ἐστὶ λόγος, καὶ ὅτι μέτρον τῆς ἀλγηδόνος ἡ τῆς κακίας ἐν ἑκάστῳ ποσότης ἐστίν· οὐ γὰρ εἰκὸς ἐκ τοῦ ἴσου τὸν εἰς τοσοῦτον ἐν ἀπηγορευμένοις γεγονότα κακοῖς καὶ τὸν μετρίοις τισὶ συνενεχθέντα πλημμελήμασιν ἐν τῇ καθάρσει τῆς μοχθηρᾶς ἕξεως ἀνιαθῆναι, ἀλλὰ παρὰ τὸ πόσον τῆς ὕλης ἢ πλεῖον ἢ ἔλαττον ἡ ὀδυνηρὰ ἐκείνη φλὸξ ἐξ-
C αφθήσεται, ἕως ἂν τὸ ὑποτρέφον ᾖ. Ὅσοι τοίνυν πολὺς ὁ ὑλώδης ἔπεστι φόρτος, πολλὴν ἀνάγκη καὶ διαρκεστέραν ἐπ' αὐτοῦ γίνεσθαι τὴν ἀναλίσκουσαν φλόγα· ᾧ δὲ ἐπ' ἔλαττον ἡ τοῦ πυρὸς δαπάνη ἐγκαταμέμικται, τοσοῦτον ὑποκαταβαίνει τῆς σφοδροτέρας τε καὶ ὁριμυτέρας ἐνεργείας ἡ κόλασις, ὅσον ἠλάττωται τῷ τῆς κακίας μέτρῳ τὸ ὑποκείμενον· χρὴ γὰρ πάντη καὶ πάντως ἐξαιρεθῆναί ποτε τὸ κακὸν ἐκ τοῦ ὄντος, καὶ, ὅπερ ἐν τοῖς φθάσασιν εἴρηται, τὸ ἐν τῷ ὄντι μὴ ὂν μηδ' εἶναι ὅλως· ἐπειδὴ γὰρ ἔξω τῆς προαιρέσεως ἡ κακία εἶναι φύσιν οὐκ ἔχει,
D ὅταν πᾶσα προαίρεσις ἐν τῷ θεῷ γένηται, εἰς παντελῆ ἀφανισμὸν ἡ κακία μεταχωρήσει τῷ μηδὲν αὐτῆς ὑπολειφθῆναι δοχεῖον.

ΓΡΗΓ. Ἀλλὰ τί τὸ κέρδος τῆς χρηστῆς ταύτης ἐλπίδος, εἶπον ἐγὼ, τῷ λογιζομένῳ ὅσον ἐστὶ κακὸν καὶ ἐνιαυσιαίαν μόνην ὑποσχεῖν ἀλγηδόνα· εἰ δ' εἰς αἰώνιόν τι διάστημα ἡ ἄσχετος ἐκείνη ὀδύνη παρατεθείη, τίς ἐκ τῆς ὕστερον ἐλπίδος ὑπολέλειπται παραμυθία, ᾗ πρὸς ὅλον αἰῶνα συνδιαμετρεῖται ἡ κόλασις;

affectionibus involutam laborare atque distendi, deo quidem proprium ad se trahente, alieno autem, propterea quod ei quodammodo coaluerit, violenter abraso, eique acres et intolerabiles dolores afferente.

GREG. Ergo, inquam, non divinum iudicium, ut videtur, praecipue iis, qui peccaverunt, punitionem affert; sed id, ut oratio demonstravit, operatur, bonum solum a malo secernens, et ad beatitudinis communionem attrahens; divulsio autem coagmentationis id, quod attrahitur, dolore afficit.

MACR. Haec, inquit magistra, etiam mea est sententia, et quod modus doloris est vitii, quod in unoquoque est, magnitudo: non enim consentaneum est, ut qui tamdiu in vetitis versatus sit malis, et qui in mediocria quaedam delicta inciderit, ex aequo crucietur in purgatione mali habitus, sed pro materiae modo magis minusve accendetur illa flamma, quae dolorem affert, donec sit, quod eam alat. Cui igitur magnum inhaeserit onus materiale, magnam necesse est atque diutius durantem in eo esse flammam, quae consumat; cui autem minori temporis spatio ignis ille consumens admotus est, tantum de vehementiore et acriore operatione poena remittit, quantum, quod ad modum mali attinet, subiectum est deminutum: oportet enim penitus ac prorsus malum aliquando eximi ex eo, quod est, et, quod in superioribus dictum est, id, quod in re ipsa non est, ne esse quidem omnino: quoniam enim ea vitii natura est, ut extra voluntatem non sit, quum omnis voluntas in deo fuerit, eo traducetur malum, ut penitus deleatur, quod nullum eius receptaculum sit relictum.

GREG. Sed quodnam huius bonae spei lucrum erit, inquam ego, reputanti, quantum sit malum, vel annuum solum sustinere cruciatum? Si autem in aeternum aliquod spatium extensus fuerit intolerabilis ille dolor, quodnam ex [illegible]e, quae est in posterum, ei, cui ad totam aeternitatem poe[illegible] modus redigitur, relictum est solatium?

ΜΑΚΡ. Ὥρτε προνοητέον, φησὶν ἡ διδάσκαλος, ἢ καθ' ὅλου τῶν τῆς κακίας μολυσμάτων φυλάξαι τὴν ψυ-
228 χὴν ἀμιγῆ τε καὶ ἀκοινώνητον, ἢ, εἰ τοῦτο πάντη ἀμή-
A χανον διὰ τὸ ἐμπαθὲς τῆς φύσεως ἡμῶν, ὡς ὅτι μάλιστα ἐν μετρίοις τισὶ καὶ εὐθεραπεύτοις εἶναι τὰ τῆς ἀρετῆς ἀποτεύγματα· οἶδε γὰρ ἡ εὐαγγελικὴ διδασκαλία καὶ μυρίων ὀφειλέτην τινὰ ταλάντων καὶ πεντακοσίων δηναρίων καὶ πεντήκοντα καὶ κοδράντου τινός, ὅπερ τὸ ἔσχατόν ἐστιν ἐν νομίσμασι· τὴν δὲ τοῦ θεοῦ δικαίαν κρίσιν διὰ πάντων διεξιέναι, καὶ τῷ βάρει τοῦ ὀφλήματος συνεπι-
B τείνουσαν τὴν ἀνάγκην τῆς ἀπαιτήσεως, καὶ οὐδὲ τῶν σμικροτάτων ὑπερορῶσαν. Τὴν δὲ ἀπόδοσιν τῶν ὀφλημάτων τὸ εὐαγγέλιον εἶπεν οὐκ ἐκ χρημάτων διαλύσεως γίνεσθαι, ἀλλὰ παραδίδοσθαι τοῖς βασανισταῖς τὸν ὑπόχρεων, ἕως ἂν, φησὶν, ἀποδῷ πᾶν τὸ ὀφειλόμενον, ὅπερ οὐδὲν ἕτερόν ἐστιν, ἢ διὰ τῆς βασάνου τὴν ἀναγκαίαν ὀφειλὴν ἀποτῖσαι, τὸ ὄφλημα τῆς τῶν λυπηρῶν μετουσίας, ὧν παρὰ τὸν βίον ὑπόχρεως ἐγένετο, ἀμιγῆ τε καὶ ἄκρα-
C τον τοῦ ἐναντίου τὴν ἡδονὴν ὑπὸ ἀβουλίας ἑλόμενος, καὶ οὕτως, ἅπαν ἀποθέμενος τὸ ἀλλότριον ἑαυτοῦ, ὅπερ ἐστὶν ἡ ἁμαρτία, καὶ τὴν ἐκ τῶν ὀφλημάτων αἰσχύνην ἀποδυσάμενος, ἐν ἐλευθερίᾳ τε καὶ παῤῥησίᾳ γένηται. Ἡ δ' ἐλευθερία ἐστὶν ἡ πρὸς τὸ ἀδέσποτόν τε καὶ αὐτοκρατὲς ἐξομοίωσις, ἡ κατ' ἀρχὰς μὲν ἡμῖν παρὰ τοῦ θεοῦ δεδωρημένη, συγκαλυφθεῖσα δὲ τῇ τῶν ὀφλημάτων αἰσχύνῃ. Πᾶσα δ' ἐλευθερία μία τίς ἐστι τῇ φύσει καὶ πρὸς ἑαυτὴν οἰκείως ἔχει. Ἀκολούθως οὖν πᾶν τὸ ἐλεύθερον τῷ
D ὁμοίῳ συναρμοσθήσεται· ἀρετὴ δὲ ἀδέσποτον. Οὐκοῦν ἐν ταύτῃ γενήσεται πᾶν τὸ ἐλεύθερον· ἀδέσποτον γὰρ τὸ ἐλεύθερον. Ἀλλὰ μὴν ἡ θεία φύσις ἡ πηγὴ πάσης ἐστὶ τῆς ἀρετῆς· ἐν ταύτῃ ἄρα οἱ τῆς κακίας ἀπηλλαγμένοι γενήσονται, ἵνα, καθὼς φησιν ὁ ἀπόστολος, ὁ θεὸς ᾖ τὰ πάντα ἐν πᾶσιν· αὕτη γὰρ ἡ φωνὴ σαφῶς μοι δοκεῖ βεβαιοῦν τὴν προεξητασμένην διάνοιαν, ἡ λέγουσα καὶ πάντα γίνεσθαι τὸν θεὸν καὶ ἐν πᾶσι· τῆς γὰρ ἐν τῷ παρόντι ζωῆς ποικίλως τε καὶ πολυειδῶς ἡμῖν ἐνεργουμένης

MACR. Itaque providendum est, inquit magistra, ut vel omnino a vitii inquinamentis integra atque illaesa conservetur anima, vel, si id plane fieri non potest, propterea quod natura nostra animi perturbationibus obnoxia est, ut quam maxime in mediocribus quibusdam et curatu facilibus a virtute recedamus: novit enim doctrina evangelica et debitorem quendam decies mille talentorum, et quingentorum denariorum, et quinquaginta et quadrantis alicuius, qui quidem ultimus est nummorum: iustum autem dei iudicium omnia persequi, et cum gravitate debiti necessitatem exactionis extendere, et ne minima quidem despicere. Debitorum autem redditionem non fieri ex pecuniae solutione dixit evangelium, sed debitorem tradi tortoribus, donec reddiderit, inquit, quicquid debetur: quod quidem nihil est aliud, quam per tormenti debita necessaria exsolvere debitum communionis rerum molestarum, quarum in vita fuit debitor, ut qui meram et contrario non mixtam voluptatem elegerit propter inopiam consilii, et sic, ubi, quicquid a se alienum est, deposuerit, quod est peccatum, et, qui ex debitis oritur, pudorem exuerit, in libertate et fiducia agat. Libertas autem est assimilatio ei, quod dominum non habet suique iuris est: quae initio quidem a deo nobis donata, cooperta autem fuit debitorum pudore. Omnis autem libertas una quaedam est sua natura, secumque conveniens. Consequenter igitur, quicquid est liberum, coniungetur ei, quod est simile; virtus autem dominum non habet. In hac ergo versabitur quicquid est liberum: dominum enim libertas non habet. Atqui divina natura fons est omnis virtutis: in ea igitur erunt qui liberati sunt a vitio, ut, sicut apostolus dicit, deus sit omnia in omnibus: haec enim vox aperte mihi videtur confirmare prius examinatam sententiam, dicens et omnia fieri deum et in omnibus: quum enim vita praesens varie ac multifariam nobis agatur, multa quidem sunt, quorum participes

229 πολλὰ μὲν ἔξιν, ὧν μετέχομεν, οἷον χρόνου, καὶ ἀέρος,
A καὶ τόπου, βρώσεώς τε καὶ πόσεως, καὶ σκεπασμάτων,
καὶ ἡλίου, καὶ λύχνου, καὶ ἄλλων πρὸς τὴν χρείαν
τοῦ βίου πολλῶν, ὧν οὐδέν ἐξιν ὁ θεός· ἡ δὲ προσδο-
κωμένη μακαριότης τούτων μὲν οὐδενός ἐξιν ἐπιδεὴς, πάν-
τα δὲ ἡμῖν καὶ ἀντὶ πάντων ἡ θεία γενήσεται φύσις,
πρὸς πᾶσαν χρείαν τῆς ζωῆς ἐκείνης ἑαυτὴν ἁρμοδίως
ἐπιμερίζουσα. Καὶ τοῦτο δῆλόν ἐξιν ἐκ τῶν θείων λο-
γίων, ὅτι καὶ τόπος γίνεται ὁ θεὸς τοῖς ἀξίοις, καὶ οἶ-
B κος, καὶ ἔνδυμα, καὶ τροφὴ, καὶ πόσις, καὶ φῶς, καὶ
πλοῦτος, καὶ βασιλεία, καὶ πᾶν νόημά τε καὶ ὄνομα τῶν
πρὸς τὴν ἀγαθὴν ἡμῖν συντελούντων ζωήν. Ὁ δὲ πάντα
γινόμενος καὶ ἐν πᾶσι γίνεται. Ἐν τούτῳ δέ μοι δοκεῖ
τὸν παντελῆ τῆς κακίας ἀφανισμὸν δογματίζειν ὁ λόγος·
εἰ γὰρ ἐν πᾶσι τοῖς οὖσιν ὁ θεὸς ἔξαι, ἡ κακία δηλαδὴ
ἐν τοῖς οὖσιν οὐκ ἔξαι· εἰ γάρ τις ὑπόθοιτο κἀκείνην εἶ-
ναι, πῶς σωθήσεται τὸ ἐν πᾶσι τὸν θεὸν εἶναι; ἡ γὰρ
C ὑπεξαίρεσις ἐκείνης ἐλλιπῆ τῶν πάντων ποιεῖ τὴν περί-
ληψιν. Ἀλλ' ὁ ἐν τοῖς πᾶσιν ἐσόμενος ἐν τοῖς μὴ οὖσιν
οὐκ ἔξαι.

ΓΡΗΓ. Τί οὖν χρὴ λέγειν, εἶπον, πρὸς τοὺς μικρο-
ψύχως ταῖς συμφοραῖς διακειμένους;

ΜΑΚΡ. Εἴπωμεν πρὸς αὐτοὺς, φησὶν ἡ διδάσκαλος,
ὅτι μάτην, ὦ οὗτοι, δυσανασχετεῖτε καὶ δυσχεραίνετε τῷ
εἱρμῷ τῆς ἀναγκαίας τῶν πραγμάτων ἀκολουθίας, ἀγνο-
οῦντες πρὸς ὅντινα σκοπὸν τὰ καθ' ἕκαστον ἐν τῷ παντὶ
D οἰκονομούμενα φέρεται, ὅτι πάντα χρὴ τάξει τινὶ καὶ ἀκο-
λουθίᾳ κατὰ τὴν τεχνικὴν τοῦ καθηγεμόνος σοφίαν τῇ
θείᾳ προσοικειωθῆναι φύσει· τούτου γὰρ ἕνεκεν ἡ λογι-
κὴ φύσις ἦλθεν εἰς γένεσιν, ὡς τὸν πλοῦτον τῶν θείων
ἀγαθῶν μὴ ἀργὸν εἶναι· ἀλλ' οἷον ἀγγεῖά τινα καὶ προ-
αιρετικὰ τῶν ψυχῶν δοχεῖα παρὰ τῆς τὸ πᾶν συσησαμέ-
νης σοφίας κατεσκευάσθη, ἐφ' ᾧτε εἶναί τι χώρημα δε-
κτικὸν ἀγαθῶν, τὸ ἀεὶ τῇ προσθήκῃ τοῦ εἰσχεομένου μεῖ-
ζον γινόμενον· τοιαύτη γὰρ ἡ τοῦ θείου ἀγαθοῦ μετου-
230 σία, ὥστε μείζονα καὶ δεκτικώτερον ποιεῖν τὸν ἐν ᾧ γίνε-
A

sumus, ut temporis, et aëris, et loci, et cibi, et potus, et vestimentorum, et solis, et lucernae, multorumque aliorum, quae ad usum vitae pertinent, quorum nihil est deus: quae autem exspectatur beatitudo nullo quidem horum indiget, nobis autem omnia et pro omnibus fiet divina natura, ad omnem usum vitae illius se ipsam convenienter impertiens. Idque patet ex divinis oraculis, quod deus sit locus iis, qui digni sunt, et domus, et indumentum, et cibus, et potus, et lux, et divitiae, et regnum, omnisque et intelligentia et nomen eorum, quae ad bonam vitam nobis conferunt. Qui autem fit omnia, fit etiam in omnibus. In hoc vero mihi videntur literae sacrae absolutum mali interitum tradere; si enim in omnibus rebus deus erit, vitium nimirum in rerum natura non erit; nam si quis illud quoque esse posuerit, quomodo salvum manebit deum esse in omnibus? vitio enim sublato manca omnium comprehensio fit. Sed qui in omnibus futurus est, in iis, quae non sunt, non erit.

GREG. Quid ergo, inquam, dicendum est iis, qui pusillo animo calamitates ferunt?

MACR. Dicamus iis, inquit magistra: Heus vos, frustra indignamini, et aegre fertis seriem necessariae rerum consequutionis, ignorantes, ad quodnam consilium ferantur quae sigillatim in universitate administrantur, quod omnia oportet ordine quodam et consequutione secundum artificiosam ducis sapientiam divinae conciliari naturae: nam iccirco natura ratione praedita ad generationem venit, ne divitiae divinorum bonorum otiosae essent; sed veluti vasa quaedam et voluntate praedita animarum receptacula a sapientia illa, quae condidit rerum universitatem, constructa sunt, ut esset aliquod receptaculum capax bonorum, quod semper accessione eius, quod infunderetur, maius fieret: talis enim est divini boni fructus, ut maiorem atque capaciorem faciat

ται, εἰς δυνάμεως καὶ μεγέθους προσθήκην ἀναλαμβανομένη τῷ δεχομένῳ, ὡς ἀεὶ αὔξεσθαι τὸν τρεφόμενον καὶ μὴ λήγειν ποτὲ τῆς αὐξήσεως· τῆς γὰρ πηγῆς τῶν ἀγαθῶν ἀνέκλειπτα πηγαζούσης, ἡ τοῦ μετέχοντος φύσις διὰ τὸ μηδὲν τοῦ λαμβανομένου περιττωματικόν τε εἶναι καὶ ἄχρηστον, ὅλον τὸ εἰρρέον προσθήκην τοῦ ἰδίου ποιουμένη μεγέθους, ἑλκτικωτέρα τε ἅμα τοῦ κρείττονος καὶ πολυχωρητοτέρα γίνεται, ἀμφοτέρων ἀλλήλοις συνεπιδιδόντων, τῆς
B τε τρεφομένης δυνάμεως ἐπὶ τῇ τῶν ἀγαθῶν ἀφθονίᾳ πρὸς τὸ μεῖζον ἐπιδιδούσης, καὶ τῆς τρεφούσης χορηγίας τῇ τῶν αὐξομένων ἐπιδόσει συμπλημμυρούσης. Ἔξιν οὖν εἰκὸς εἰς τοιοῦτον ἀναβήσεσθαι μέγεθος, ἐφ' ὧν ὅρος οὐδεὶς ἐπικόπτει τὴν αὔξησιν. Εἶτα τοιούτων ἡμῖν προκειμένων χαλεπαίνετε διὰ τῆς τεταγμένης ἡμῖν ὁδοῦ πρὸς τὸν ἴδιον σκοπὸν προϊούσης τῆς φύσεως; οὐ γὰρ ἔξιν
C ἄλλως ἐπ' ἐκεῖνα γενέσθαι τὸν δρόμον ἡμῖν, μὴ τοῦ βαροῦντος ἡμᾶς, τοῦ ἐμβριθοῦς, λέγω, τούτου καὶ γεώδους φορτίου, τῆς ψυχῆς ἡμῶν ἀποσεισθέντος, τῆς τε πρὸς αὐτὸ συμπαθείας, ἣν ἐν τῷ τῇδε βίῳ ἐσχήκαμεν, διὰ κρείττονος ἐπιμελείας ἐκκαθαρθέντας, ἐν τῷ καθαρῷ δυνηθῆναι προσοικειωθῆναι τὸ ὅμοιον. Εἰ δέ σοί τις καὶ πρὸς τὸ σῶμα τοῦτο σχέσις ἐξί, καὶ λυπεῖ σε ἡ τοῦ ἀγαπωμένου διάζευξις, μηδὲ τοῦτό σοι ἀπ' ἐλπίδος ἔξω· ὄψει γὰρ τοῦτο τὸ σωματικὸν περιβόλαιον τὸ νῦν διαλυθὲν τῷ
D θανάτῳ, ἐκ τῶν αὐτῶν πάλιν ἐξυφαινόμενον, οὐ κατὰ τὴν παχυμερῆ ταύτην καὶ βαρεῖαν κατασκευήν, ἀλλ' ἐπὶ τὸ λεπτότερόν τε καὶ ἀερῶδες μετακλωσθέντος τοῦ νήματος, ὥστε σοι καὶ παρεῖναι τὸ ἀγαπώμενον καὶ ἐν ἀμείνονι καὶ ἐρασμιωτέρῳ τῷ κάλλει πάλιν ἀποκαθίσασθαι.

ΓΡΗΓ. Ἀλλ' ἔοικέ πως, εἶπον, ἐξ ἀκολουθίας ἡμῖν τὸ δόγμα τῆς ἀναστάσεως ἐπεισεληλυθέναι τῷ λόγῳ, ὅ μοι δοκεῖ δεῖν ἀληθὲς μὲν καὶ πιστὸν ἐκ τῶν γραφῶν διδασκαλίας εἶναι καὶ μὴ ἀμφιβάλλειν. Ἐπειδὴ δέ πως ἡ ἀσθένεια τῆς ἀνθρωπίνης διανοίας τοῖς χωρητοῖς ἡμῖν
231 λογισμοῖς μᾶλλον πρὸς τὴν τοιαύτην πίστιν ἐπισηρίζεται,
A

eum, in quo sit, dum ad potentiae magnitudinisque incrementum ab recipiente sumitur, ut semper crescat qui nutritur, neque unquam crescere desinat: quum enim fons bonorum continenter scateat, natura eius, quod participat, propterea quod eius, quod sumitur, nihil est excrementosum et inutile, quicquid influit, in suam convertens magnitudinem, simul et maiorem vim nanciscitur attrahendi id, quod melius est, fitque diuturnior, utroque inter se simul crescente, et ea, quae alitur, facultate, propter bonorum copiam magis crescente, et quae alit, suppeditatione una cum incremento eorum, quae augentur, abundante. Est ergo consentaneum, fore, ut ad tantam adscendant magnitudinem ii, in quibus nullus terminus interrumpit incrementum. Deinde, quum haec sint nobis proposita, aegre fertis, si via constituta quo destinavit, natura progreditur? non enim aliter ad illa cursum nobis fieri licet, nisi eo, quod nos gravat, hoc, inquam, molesto atque terreno onere, ab anima nostra excusso, et ab ea cum ipso consensione, quam in hac vita habuimus, per meliorem curam expurgatos, in puro cum simili coniungi posse. Si autem tibi quaedam etiam ad hoc corpus habitudo est, et te angit, quod ab eo, quod diligitur, disiungeris, ne hoc quidem spem tibi adimat: videbis enim hoc corporeum indumentum, nunc morte dissolutum, ex iisdem rursus contextum, non hac crassa et gravi constructione, sed in id, quod subtilius atque aërium est, agglomerato filo, ita, ut tibi et adsit quod diligis, et in praestantiore magisque amabili pulchritudine iterum restituatur.

GREG. Sed patet quodammodo, inquam, ex dictorum consequentia in orationem nobis dogma resurrectionis influxisse, quod mihi videtur oportere verum et credibile esse ex literarum sacrarum doctrina, neque in dubium vocari. Quoniam autem humanae mentis imbecillitas rationibus, quas capere possimus, magis quodammodo ad hanc fidem con-

καλῶς ἂν ἔχοι μηδὲ τοῦτο τὸ μέρος παραδραμεῖν ἀθεώρητον. Τί οὖν χρὴ λέγειν, ἐπισκεψώμεθα.

ΜΑΚΡ. Καὶ ἡ διδάσκαλος· Οἱ μὲν ἔξω, φησὶ, τῆς καθ' ἡμᾶς φιλοσοφίας ἐν διαφόροις ὑπολήψεσιν ἄλλος ἄλλως ἐν μέρει τινὶ τοῦ κατὰ τὴν ἀνάςασιν ἐφήψαντο δόγματος, οὔτε δι' ἀκριβείας τοῖς ἡμετέροις συνενεχθέντες, οὔτε πάντη τῆς τοιαύτης ἀποσφαλέντες ἐλπίδος· τινὲς μὲν γὰρ ὑφίζουσι τῇ κοινότητι τὸ ἀνθρώπινον, τὴν αὐτὴν ἑνὰ μέρος ἀνθρώπου τε καὶ ἀλόγου ψυχὴν διοριζόμενοι γίνεσθαι, μετενδυομένην τὰ σώματα καὶ πρὸς τὸ ἀρέσκον ἀεὶ μεταβαίνουσαν, ἢ πτηνὸν, ἢ ἔνυδρον, ἢ χερσαῖόν τι ζῶον γινομένην μετὰ τὸν ἄνθρωπον, καὶ πάλιν ἀπὸ τούτων πρὸς τὴν ἀνθρωπίνην ἐπανιέναι φύσιν· ἕτεροι δὲ καὶ μέχρι τῶν θάμνων τὸν τοιοῦτον λῆρον ἐκτείνουσιν, ὡς καὶ τὸν ξυλώδη βίον αὐτῇ κατάλληλόν τε καὶ οἰκεῖον νομίζειν· τοῖς δὲ τοῦτο δοκεῖ μόνον τὸ ἐξ ἀνθρώπου ἕτερον ἄνθρωπον ἀεὶ μεταλαμβάνειν, καὶ διὰ τῶν αὐτῶν πάντοτε τὸν ἀνθρώπινον διεξάγεσθαι βίον, νῦν μὲν ἐν τούτοις, πάλιν δὲ ἐν ἑτέροις τῶν αὐτῶν ψυχῶν εἰς τὸ διηνεκὲς γινομένων. Ἡμεῖς δὲ καλῶς ἔχειν φαμὲν, ἐκ τῶν ἐκκλησιαςικῶν δογμάτων ὁρμώμενοι, τοσοῦτον παραδέξασθαι μόνον τῶν τὰ τοιαῦτα πεφιλοσοφηκότων, ὅσον συμφωνοῦντας αὐτοὺς τρόπον τινὰ δεῖξαι τῷ τῆς ἀναςάσεως δόγματι· τὸ γὰρ λέγειν αὐτοὺς πάλιν τισὶν ἐπεισκρίνεσθαι σώμασιν μετὰ τὴν ἀπὸ τούτων διάζευξιν τὴν ψυχὴν οὐ λίαν ἀπᾴδει τῆς ἐλπιζομένης ἡμῖν ἀναβιώσεως· ὅ τε γὰρ ἡμέτερος λόγος ἐκ τῶν τοῦ κόσμου ςοιχείων νῦν τε καὶ εἰςαῦθις τὸ σῶμα ἡμῶν συνίςασθαι λέγει, καὶ τοῖς ἔξωθεν τὸ ἴσον δοκεῖ· οὐ γὰρ ἂν ἄλλην τινὰ τοῦ σώματος ἐπινοήσαιεν φύσιν ἔξω τῆς συνδρομῆς τῶν ςοιχείων. Διαφέρει δὲ τοσοῦτον, ὅσον παρ' ἡμῶν μὲν τὸ αὐτὸ λέγεσθαι πάλιν περὶ τὴν αὐτὴν ψυχὴν συμπήγνυσθαι σῶμα, ἐκ τῶν αὐτῶν ςοιχείων συναρμοζόμενον· ἐκείνους δὲ οἴεσθαι πρὸς ἄλλα τινα σώματα λογικά τε καὶ ἄλογα καὶ ἀναίσθητα τὴν ψυχὴν μεταπίπτειν, οἷς τὸ μὲν ἐκ τῶν τοῦ κόσμου μερῶν εἶναι τὴν σύςασιν ὁμολο-

firmatur, non alienum fuerit, ne hanc quidem partem inconsideratam relinquere. Quid igitur dicere oporteat, videamus.

MACR. Magistra autem: Qui a nostra quidem, inquit, philosophia alieni sunt, in diversis opinionibus alius aliter ex parte quadam resurrectionis dogma attigerunt, neque cum nostris plane consentientes, nec ab ea spe omnino excidentes: nam nonnulli quidem propter communitatem genus humanum iniuria afficiunt, eandem vicissim et hominis et eius, quod ratione caret, animam fieri censentes, alternis induentem corpora, semperque transeuntem ad id, quod sibi videatur, ita ut volucre aliquod, vel aquatile, vel terrestre animal fiat post hominem, ac rursus ab his ad humanam redeat naturam: alii autem etiam ad arbusta usque has nugas extendunt, ut etiam ligni vitam ei convenientem atque propriam putent: aliis vero hoc solum videtur, quod ex homine semper alium hominem suscipiat, et per eadem humanam vitam semper transigat, quum nunc quidem in his, rursus autem in aliis eaedem in perpetuum animae sint. Nos autem bene se habere dicimus, si, ab ecclesiasticis dogmatis profecti, tantum duntaxat accipiamus ab iis, qui haec philosophice tractarunt, quantum sufficiat ad ostendendum eos aliquo modo cum resurrectionis dogmate consentire: nam quod dicunt, animam rursus aliquibus infundi corporibus post suam ab his separationem, non admodum discrepat ab eo, quod a nobis speratur, fore, ut reviviscamus: nam et nos dicimus ex mundi elementis et nunc et rursus corpus nostrum constitui: et itidem videtur iis, qui a nostra doctrina sunt alieni: non enim aliam quandam corporis excogitaverint naturam extra elementorum concursum. Hoc tantum interest, quod nos dicimus idem rursus cum eadem anima coniungi corpus, ex iisdem elementis concinnatum; illi autem in alia quaedam corpora, tam ratione praedita, quam rationis expertia, et non sentientia, animam transire existimant, quae quidem corpora ex mundi par-

γεῖται· διαφωνεῖ δὲ τὸ μὴ ἐκ τῶν αὐτῶν οἴεσθαι τῶν κατ᾽ ἀρχὰς ἐν τῇ διὰ σαρκὸς ζωῇ τῇ ψυχῇ προσφυέντων. Οὐκοῦν τὸ μὲν μὴ ἔξω τοῦ εἰκότος εἶναι τὸ πάλιν τὴν ψυχὴν ἐν τῷ σώματι γίνεσθαι παρὰ τῆς ἔξω φιλοσοφίας μεμαρτυρήσθω. Τὸ δὲ ἀσύγκατον τοῦ κατ᾽ αὐτοὺς δόγματος καιρὸς ἂν εἴη διασκοπήσασθαι, καὶ δι᾽ αὐτῆς τῆς κατὰ τὸ εὔλογον ἀνακυπτούσης ἡμῖν ἀκο-
B λουθίας φανερῶσαι, ὡς ἔξι δυνατὸν, τὴν ἀλήθειαν. Τίς οὖν ὁ περὶ τούτων λόγος; Οἱ πρὸς διαφόρους φύσεις τὴν ψυχὴν μετοικίζοντες, συγχεῖν μοι δοκοῦσι τὰς τῆς φύσεως ἰδιότητας, καὶ πάντα χρήματα καταμιγνύειν τε καὶ ἀναφύρειν πρὸς ἄλληλα, τὸ ἄλογον, τὸ λογικὸν, τὸ αἰσθητικὸν, τὸ ἀναίσθητον, εἴπερ ἐν ἀλλήλοις ταῦτα γίνοιτο, μηδενί τινι φύσεως εἰρμῷ κατὰ τὸ ἀμετάπτωτον ἀπ᾽ ἀλλήλων διατειχιζόμενα· τὸ γὰρ τὴν αὐτὴν ψυχὴν λέγειν νῦν μὲν λογικήν τε καὶ διανοητικὴν διὰ τῆς τοιᾶς-
C δε τοῦ σώματος περιβολῆς γίνεσθαι, πάλιν δὲ μετὰ τῶν ἑρπετῶν φωλεύειν, ἢ τοῖς ὀρνέοις συναγελάζεσθαι, ἢ ἀχθοφορεῖν, ἢ σαρκοβορεῖν, ἢ ὑποβρύχιον εἶναι, ἢ καὶ πρὸς τὸ ἀναίσθητον μεταπίπτειν, ῥιζουμένην τε καὶ ἀποδενδρουμένην, καὶ κλάδων ἐκφύσεις ἀναβλαστάνουσαν, καὶ ἐν τούτοις ἢ ἄνθος, ἢ ἀκάνθαν, ἢ τρόφιμόν τι φυομένην, ἢ δηλητήριον, οὐδὲν ἕτερόν ἐστιν, ἢ ταὐτὸν ἡγεῖσθαι τὰ πάντα, καὶ μίαν ἐν τοῖς οὖσιν εἶναι τὴν φύσιν
D ἐν συγκεχυμένῃ τινὶ καὶ ἀδιακρίτῳ κοινότητι πρὸς ἑαυτὴν πεφυρμένην, μηδεμιᾶς ἰδιότητος τὸ ἕτερον τοῦ ἑτέρου ἀποκρινούσης· ὁ γὰρ λέγων τὸ αὐτὸ ἐν παντὶ γίνεσθαι οὐδὲν ἕτερον ἢ ἓν εἶναι τὰ πάντα βούλεται, τῆς ἐμφαινομένης διαφορᾶς τοῖς οὖσιν οὐδὲν πρὸς τὴν ἐπιμιξίαν τῶν ἀκοινωνήτων ἐμποδιζούσης, ὡς ἀνάγκην εἶναι, κἂν τι τῶν ἰοβόλων καὶ σαρκοβόρων θεάσηται, ὁμόφυλον νομίζειν ἑαυτῷ καὶ συγγενὲς τὸ φαινόμενον· οὐδὲ τὸ κώνειον ὁ τοιοῦτος ὡς ἀλλότριον τῆς ἰδίας ὄψεται φύσεως,
233 εἴπερ βλέπει καὶ ἐν φυτοῖς τὸ ἀνθρώπινον, ἀλλ᾽ οὐδὲ
A πρὸς αὐτὸν ἀνυπόπτως ἔξει τὸν βότρυν τὸν ἐπὶ τῇ χρείᾳ τῆς ζωῆς γεωργούμενον. Καὶ γὰρ καὶ οὗτος τῶν φυομέ-

tibus composita esse convenit; in eo autem discrepant, quod non putant ex iisdem partibus ea conflari, quae partes ab initio in carnali vita animae adhaeserant. Ergo a veri similitudine non alienum esse, animam rursus esse in corpore, testetur externa philosophia. Quod autem eorum dogma consistere non possit, tempestivum fuerit dispicere, et per ipsam, quae ex eo, quod rationi consentaneum est, nobis emergit, consequutionem, quoad eius fieri possit, declarare veritatem. Quid ergo de his dicemus? Qui ad diversas naturas animam transmigrare faciunt, naturae proprietates confundere mihi videntur, omniaque inter se permiscere atque conturbare, id, quod rationis est particeps, et quod expers rationis, quod sensu est praeditum, et quod caret sensu, si quidem haec invicem aliud in alio sint, nec ulla quadam naturae serie alterum ab altero immutabiliter seiuncta fuerint: nam dicere eandem animam nunc quidem et ratione praeditam et intelligentem per talem corporis amictum fieri, rursus autem cum serpentibus in speluncis delitescere, aut cum avibus congregari, aut onus portare, aut carne vesci, aut in aqua submersam esse, aut vel eo transire, ut non sit sensus particeps, ut quae radices agat et arborescat, ramosque proferat, et in iis vel florem, vel spinam, vel aliquid, quod alat, aut noxium fiat, producat, nihil est aliud, quam idem putare omnia, et unam in rebus naturam, in confusa quadam et indiscreta communitate cum se ipsa permixtam, nulla proprietate alterum ab altero secernente: nam qui dicit idem in quolibet esse, nihil sibi vult aliud, quam unum esse omnia rebus innata differentia nihil impediente, quominus misceantur, quae nullam possunt inter se habere communionem, ut necesse sit, etiam si quid venenatum aut carnivorum videat, sui generis sibique cognatum esse existimet id, quod apparet: neque is cicutam tanquam alienam videbit a sua natura, si quidem etiam in plantis id, quod humanum est, cernit: immo ne de racemo quidem, qui ad usum vitae colitur, extra suspicionem erit. Et-

νων ἐξίν· φυτὰ δὲ ἡμῖν καὶ τὰ τῶν ἀσαχύων γεννήματα, δι᾽ ὧν τρεφόμεθα. Πῶς οὖν ἐπάξει τὴν δρεπάνην τῇ τῶν ἀσαχύων τομῇ; πῶς δὲ ἀποθλίψει τὸν βότρυν, ἢ ἀνορύξει τῆς ἀρούρας τὴν ἄκανθαν, ἢ τὸ ἄνθος δρέψεται, ἢ θηρεύσει τοὺς ὄρνιθας, ἢ ἀπὸ ξύλων ἀνακαύσει πυρὰν, ἄδηλον ὄν, εἰ μὴ κατὰ συγγενῶν, ἢ προγόνων, ἢ
B ὁμοφύλων ἡ χεὶρ φέρεται, καὶ διὰ τοῦ σώματος αὐτῶν ἢ τὸ πῦρ ἀνάπτεται, ἢ ὁ κρατὴρ κιρνᾶται, ἢ ἡ τροφὴ παρασκευάζεται; τῷ γὰρ οἴεσθαι δι᾽ ἑκάστου τούτων τὴν ψυχὴν τοῦ ἀνθρώπου γίνεσθαι φυτὸν ἢ ζῶον, σημεῖα δὲ μὴ ἐπικεῖσθαι, ποῖον μὲν τὸ ἐξ ἀνθρώπου φυτὸν ἢ ζῶον, ποῖον δὲ τὸ ἑτέρως γενόμενον· πρὸς πάντα κατὰ τὸ ἴσον ὁ τῇ τοιαύτῃ προειλημμένος ὑπολήψει διατεθήσεται, ὡς κατ᾽ ἀνάγκην ἢ καὶ κατ᾽ αὐτῶν τῶν ἐν τῇ φύσει ζώντων ἀνθρώπων ἀπηνῶς ἕξειν, ἢ, εἴπερ ἐπὶ τῶν ὁμοφύλων
C πρὸς φιλανθρωπίαν ἐκ φύσεως ῥέποι, ὁμοίως αὐτὸν διακεῖσθαι πρὸς πᾶν ἔμψυχον, κἂν ἐν ἑρπετοῖς, κἂν ἐν θηρίοις τύχῃ, ἀλλὰ κἂν ἐν ὕλῃ δένδρων γένηται ὁ τὸ δόγμα τοῦτο παραδεξάμενος, δῆμον ἀνθρώπων τὰ δένδρα οἰήσεται. Τίς οὖν ὁ τοῦ τοιούτου βίος, ἢ πρὸς πάντα εὐλαβῶς διὰ τὸ ὁμόφυλον, ἢ καὶ πρὸς τοὺς ἀνθρώπους ἀπηνῶς διὰ τὴν ἐπὶ τῶν ἄλλων ἀδιαφορίαν ἔχοντος; Οὐκ-
D οὖν ἀπόβλητος ἐκ τῶν εἰρημένων ὁ τοιοῦτος ἂν εἴη λόγος, πολλῶν καὶ ἄλλων τῆς τοιαύτης ἡμᾶς ὑπολήψεως κατὰ τὸ εὔλογον ἀπαγόντων· ἤκουσα γὰρ τῶν τὰ τοιαῦτα δογματιζόντων, ὅτι ἔθνη τινὰ τῶν ψυχῶν ὑποτίθενται ἐν ἰδιαζούσῃ τινὶ πολιτείᾳ πρὸ τῆς ἐν σώματι ζωῆς βιοτεύοντα, ἐν τῷ λεπτῷ τε καὶ εὐκινήτῳ τῆς φύσεως ἑαυτῶν τῇ τοῦ παντὸς συμπεριπολοῦντα δινήσει, ῥοπῇ δέ τινι τῇ πρὸς κακίαν πτεροῤῥυούσας τὰς ψυχὰς ἐν σώμασι γίνεσθαι, πρῶτον μὲν ἀνθρωπίνοις· εἶθ᾽ οὕτως διὰ τῆς
234 πρὸς τὰ ἄλογα τῶν παθῶν ὁμιλίας μετὰ τὴν τοῦ ἀνθρω-
A πίνου βίου ἐκχώρησιν ἀποκτηνοῦσθαι, κἀκεῖθεν μέχρι τῆς φυτικῆς ταύτης καὶ ἀναισθήτου καταπίπτειν ζωῆς, ὡς τὸ τῇ φύσει λεπτὸν καὶ εὐκίνητον, ὅπερ ἐστὶν ἡ ψυχὴ, πρῶτον μὲν ἐμβριθές τε καὶ κατωφερὲς γίνεσθαι, τοῖς ἀν-

enim is quoque eorum est, quae ex terra nascuntur; plantae autem sunt nobis etiam spicarum fruges, quibus alimur. Quomodo igitur falcem admovebit ad spicas excidendas? quomodo racemum exprimet, aut e terra spinam effodiet, aut florem carpet, aut aves venabitur, aut ex lignis rogum accendet, quum incertum sit, num adversus cognatos aut progenitores, aut eos, qui sunt eiusdem generis, manus feratur, et per corpus eorum vel ignis accendatur, vel crater temperetur, vel alimentum paretur? Si quis putet per unumquodque eorum animam hominis fieri plantam, vel animal, signa autem non esse imposita, qualis sit planta ex homine vel animal, quale id, quod aliter sit factum: ad omnia aeque afficietur, quem prius eiusmodi invaserit opinio, adeo ut necessario vel in ipsos quoque, qui in natura vivunt homines, immitis, vel, si in iis, qui sunt eiusdem generis, ad humanitatem natura propensus sit, in quodvis animatum similiter afficiatur, sive sit inter serpentes, sive inter feras: quin etiam si qui hoc dogma susceepit, in silvam arborum pervenerit, populum hominum arbores existimabit. Quaenam ergo est huius vita, qui vel omnia reveretur, propterea quod sint eiusdem generis, vel etiam in homines immitis est, propterea quod eos statuat a ceteris rebus nihil differre? Ex iis ergo, quae dicta sunt, reiicienda fuerit huiusmodi oratio, quum multa etiam alia, ut consentaneum est, ab hac opinione nos abducant: nam audivi ex iis, qui talia tradunt, supponi quasdam gentes animarum, in peculiari quadam civitate, antequam ad corpoream vitam deveniant, viventes, quae quum subtilitate, tum mobilitate suae naturae una cum mundi conversione circumagantur; quum autem quadam ad malum propensione defluxerint pennae, animas in corporibus fieri, primum quidem humanis; deinde sic propter consuetudinem affectuum ratione carentium, postquam ex humana vita excesserint, in pecora degenerare, et illinc usque ad hanc plantarum sensuque carentem vitam delabi, adeo ut, quod natura subtile ac mobile est, quod quidem est anima, primum grave atque deorsum

ἀνθρωπίνοις σώμασι διὰ κακίας εἰσοικιζόμενον, εἶτα τῆς λογικῆς δυνάμεως ἀποσβεσθείσης τοῖς ἀλόγοις ἐμβιοτεύειν, ἐκεῖθεν δὲ καὶ τῆς τῶν αἰσθήσεων χαρίτος ἀφαιρεθείσης τὴν ἀναίσθητον ταύτην ζωὴν τὴν ἐν φυτοῖς μεταλαμβάνειν· ἀπὸ τούτου δὲ πάλιν διὰ τῶν αὐτῶν ἀνιέναι βαθμῶν καὶ πρὸς τὸν οὐράνιον χῶρον ἀποκαθίσασθαι. Τὸ δὲ τοιοῦτον δόγμα τοῖς καὶ μετρίως κρίνειν ἐπιχαμένοις αὐτόθεν ἐλέγχεται, μηδεμίαν ἔχον ἐν ἑαυτῷ χάσιν· εἰ γὰρ ἀπὸ τῆς οὐρανίου ζωῆς διὰ κακίας ἐπὶ τὸν ξυλώδη βίον ἡ ψυχὴ κατασύρεται, ἀπὸ τούτου δὲ πάλιν δι' ἀρετῆς ἐπὶ τὸν οὐράνιον ἀνατρέχει, εὑρίσκεται ὁ λόγος αὐτῶν ἀπορῶν, ὅ τι προτιμότερον οἴεται, εἴτε τὴν ξυλίνην, εἴτε τὴν οὐρανίαν ζωήν· κύκλος γάρ τις ἔσε διὰ τῶν ὁμοίων περιχωρῶν, ἀεὶ τῆς ψυχῆς, ἐν ᾧπερ ἂν ᾖ, ἀσατούσης· εἰ γὰρ ἐκ τῆς ἀσωμάτου ζωῆς πρὸς τὴν σωματικὴν καταφέρεται, ἐκ δὲ ταύτης πρὸς ἀναίσθητον, ἐκεῖθεν δὲ πάλιν πρὸς τὸ ἀσώματον ἀνατρέχει, οὐδὲν ἕτερον ἢ ἀδιάκριτος κακῶν τε καὶ ἀγαθῶν σύγχυσις παρὰ τοῖς ταῦτα δογματίζουσιν ὑπονοεῖται· οὔτε γὰρ ἡ οὐρανία διαγωγὴ ἐν τῷ μακαρισμῷ διαμενεῖ, εἴπερ κακία τῶν ἐκεῖ ζώντων καθάπτεται, οὔτε τὰ ξύλα τῆς ἀρετῆς ἀμοιρήσει, εἴπερ ἐντεῦθεν μὲν ἐπὶ τὸ ἀγαθὸν παλινδρομεῖν οἴονται τὴν ψυχήν, ἐκεῖθεν δὲ τοῦ κατὰ κακίαν ἄρχεσθαι βίου· εἰ γὰρ τῷ οὐρανῷ ἡ ψυχὴ συμπεριπολοῦσα τῇ κακίᾳ συμπλέκεται, καὶ διὰ ταύτης ἐπὶ τὸν ὑλώδη καθελκυσθεῖσα βίον ἀνωθεῖται πάλιν ἐντεῦθεν ἐπὶ τὴν ἐν ὕψει διαγωγήν, ἆρα τὸ ἔμπαλιν παρ' ἐκείνων κατασκευάζεται τὸ τὴν μὲν ὑλικὴν ζωὴν κακίας εἶναι καθάρσιον, τὴν δὲ ἁπλανῆ περιφορὰν κακῶν ἀρχηγὸν καὶ αἰτίαν ταῖς ψυχαῖς γίνεσθαι, εἴπερ ἐντεῦθεν μὲν δι' ἀρετῆς πτεροφυήσασαι μετεωροποροῦσιν, ἐκεῖθεν δὲ διὰ κακίας τῶν πτερῶν ἐκπιπτόντων χαμαιπετεῖς καὶ πρόσγειοι γίνονται, τῇ παχύτητι τῆς ὑλικῆς καταμιγνύμεναι φύσεως. Καὶ οὐ μέχρι τούτων ἴσαται τῶν τοιούτων δογμάτων ἡ ἀτοπία, τὸ ἀντεσράφθαι πρὸς τοὐναντίον τὰς ὑπολήψεις· ἀλλ' οὐδὲ αὐτὴ παγία διαμένει μέχρι παντὸς αὐτοῖς ἡ ὑπόνοια· εἰ γὰρ ἄτρεπτον τὸ οὐράνιον λέγουσι,

vergens efficiatur, propter vitium in humana corpora immigrans; deinde rationis facultate exstincta in ratione carentibus vitam degat: illinc autem sensuum quoque dono adempto hanc sensus expertem vitam, quae est in plantis, invicem suscipiat: post vero rursus per eosdem gradus adscendat et in caelestem locum restituatur. Hoc autem dogma ab iis, qui vel mediocri iudicio praediti sunt, ex hoc ipso refellitur, ut quod nequaquam in se consistere possit: nam si a caelesti vita per vitium ad ligneam vitam anima detrahitur, inde autem rursus per virtutem ad caelestem recurrit, invenitur eorum oratio dubitare, quid praestabilius putet, ligneamne vitam, an caelestem: circulus enim quidam est, qui per similia vertitur, quum anima, ubicunque fuerit, semper instabilis sit: nam si ab incorporea vita ad corpoream defertur, et ex hac ad eam, quae sensu caret, indeque rursus ad incorpoream recurrit, nihil aliud, quam indistincta tum bonorum, tum malorum confusio ab iis, qui haec dogmata proferunt, excogitatur: neque enim caelestis vita in beatitudine permanebit, siquidem vitium illic viventes attingit, neque ligna virtute carebunt, siquidem hinc ad bonum recurrere putant animam, illinc autem pravam incipere vitam: nam si quae una cum caelo versatur anima vitio implicatur, et, per id, ad materialem vitam detracta, rursus hinc subvehitur, ut vitam degat in sublimi: contra sane ab illis confirmatur materialem vitam vitii esse purgationem; inerrantem autem circuitum malorum ducem et causam animis exsistere, siquidem hinc pennis per virtutem enatis sublime feruntur; illinc autem per vitium decidentibus pennis humiles et terrenae fiunt, commixtae cum crassitudine materialis naturae. Neque hactenus consistit huiusmodi dogmatum absurditas, ut in contrarium convertantur opiniones; sed ne ipsa quidem opinio perpetuo iis permanet firma ac stabilis: nam si immutabile dicunt id, quod caeleste est, quo-

πῶς ἔχει χώραν ἐν τῷ ἀτρέπτῳ τὸ πάθος; καὶ εἰ ἐμπαθὴς ἡ κάτω φύσις, πῶς ἐν τῷ παθητῷ κατορθοῦται ἡ ἀπάθεια; Ἀλλὰ φύρουσι τὰ ἄμικτα, καὶ ἑνοῦσι τὰ
B ἀκοινώνητα, ἐν πάθει τὸ ἄτρεπτον, καὶ ἐν τῷ τρεπτῷ πάλιν καθορῶντες τὴν ἀπάθειαν, καὶ οὐδὲ τούτοις εἰς ἀεὶ παραμένουσιν, ἀλλ' ὅθεν τὴν ψυχὴν διὰ κακίας ἀπώκισαν, ἐκεῖσε πάλιν αὐτὴν ὡς εἰς ἀσφαλῆ καὶ ἀκήρατον ζωὴν ἐκ τῆς ὑλικῆς ἀνοικίζουσιν, ὥσπερ ἐπιλαθόμενοι τὰ ἐκεῖθεν αὐτὴν ἐν κακίᾳ βρίσασαν τῇ κάτω καταμιχθῆναι φύσει. Ἥ τε οὖν διαβολὴ τοῦ τῇδε βίου καὶ ὁ τῶν οὐρανίων ἔπαινος ἐν ἀλλήλοις συγχέονται καὶ ἀναφύρονται, τοῦ μὲν διαβεβλημένου κατὰ τὴν ἐκείνων δόξαν πρὸς τὸ
C καλὸν καθηγουμένου, τοῦ δὲ πρὸς τὸ κρεῖττον ὑπειλημμένου τὴν ἀφορμὴν ἐνδιδόντος τῇ ψυχῇ τῆς πρὸς τὸ χεῖρον ῥοπῆς. Οὐκοῦν ἐκβλητέα τῶν τῆς ἀληθείας δογμάτων πᾶσα πεπλανημένη τε καὶ ἀσατοῦσα περὶ τῶν τοιούτων ὑπόληψις. Ἀλλὰ μηδ' ὅσοις μεταβαίνειν ἐκ γυναικείων σωμάτων πρὸς τὴν ἀνδρώδη ζωὴν τὰς ψυχὰς δοκεῖ, ἢ τὸ ἔμπαλιν ἐν γυναιξὶ γίνεσθαι τὰς τῶν ἀνδρικῶν σωμάτων χωρισθείσας ψυχὰς ἢ καὶ πρὸς ἄνδρας ἐξ ἀν-
D δρῶν μεταβαίνειν, καὶ γυναῖκας ἐκ γυναικῶν γίνεσθαι πάλιν, ὡς τῆς ἀληθείας ἠσχηκόσιν ἀκολουθήσωμεν· ὁ μὲν γὰρ πρότερος οὐ μόνον διὰ τὸ ἄσατός τε καὶ ἀπατηλὸς εἶναι ἀπεδοκιμάσθη λόγος, αὐτὸς ἐν ἑαυτῷ πρὸς τὰς ἐναντίας ὑπολήψεις περιτρεπόμενος, ἀλλ' ὅτι καὶ ἀσεβῶς ἔχει, μηδὲν τῶν ὄντων εἰς γένεσιν ἄγεσθαι δογματίζων, μὴ κακίας τῇ ἑκάστου φύσει τὴν ἀρχὴν ἐνδιδούσης· εἰ γὰρ οὔτε ἄνθρωποι, οὔτε φυτὰ, οὔτε βοσκήματα μὴ ψυχῆς ἄνωθεν ἐπὶ ταῦτα πεσούσης φύονται, ἡ δὲ πτῶσις διὰ
236 κακίας γίνεται, ἆρα κατάρχειν οἴονται τὴν κακίαν τῆς τῶν
A ὄντων συζάσεως. Καὶ πῶς συμβαίνει κατὰ τὸν αὐτὸν ἀμφότερα χρόνον, καὶ ἄνθρωπον ἐκ γάμου φύεσθαι, καὶ τῆς ψυχῆς τὴν κατάπτωσιν τῇ τοῦ γάμου συμβαίνειν σπουδῇ, καὶ τὸ ἔτι τούτου παραλογώτερον, εἰ ἔαρι τὰ πολλὰ τῆς ἀλόγου φύσεως συνδυάζεται, ἆρ' οὖν ἔζιν εἰπεῖν, ὅτι καὶ τῇ ἄνω περιφορᾷ τὸ ἔαρ ἐμφύεσθαι τὴν

modo in immutabili locum habet affectio? et si affectionibus obnoxia est inferna natura, quomodo in eo, quod affectionibus obnoxium est, recte procedit affectionum vacuitas? Sed permiscent ea, quae misceri non possunt, et uniunt ea, quibus inter se nulla communio est, in affectione immutabilitatem, in mutabilitate rursus cernentes affectionum vacuitatem, ac ne in his quidem semper permanent, sed unde animam per vitium amandarunt, illic rursus eam, tanquam in tutam et immortalem vitam ex materiali reducunt, quasi obliti, eam illinc tanquam vitio gravatam cum inferiori natura mixtam fuisse. Itaque et vituperatio huius vitae et caelestium laus inter se confunduntur et permiscentur, quum illa, quae male audit, ut illorum opinio fert, ad bonum ducat, ea autem, quae melior censetur, animae occasionem det, ut ad deterius propensa sit. Eiiciatur ergo ex veritatis dogmatis omnis falsa atque instabilis de his rebus opinio. Sed ne illos quidem, quibus transire ex mulierum corporibus ad virilem vitam animas placet, aut contra in mulieribus esse a virorum corporibus separatas animas, aut etiam ad viros a viris transire, et mulieres ex mulieribus rursus fieri, tanquam qui a veritate aberraverint, sequamur: nam prior quidem sententia non solum, quod et instabilis et fallax sit, reprobata est, quum ipsa per se ad contrarias opiniones convertatur, sed quod etiam impia sit, ut quae tradat nihil eorum, quae sunt, ad generationem duci, nisi vitium unicuique naturae principium det: nam si neque homines, neque plantae, neque pecora, nisi anima superne in haec deciderit, nascuntur, casus autem is per vitium fit, nimirum vitio putant principium dari eorum, quae sunt, constitutionis. Et quomodo contingunt utraque eodem tempore, ut et homo ex nuptiis procreetur, et animae lapsus cum nuptiarum studio conveniat, et quod eo adhuc a ratione alienius est, si vere pleraque animalia rationis experte natura praedita coëant, dicine potest, in superno circuitu ver effi-

κακίαν ποιεῖ, ὥστε συμβαίνειν ὁμοῦ τε τοῦ κακοῦ τὰς ψυχὰς πληρουμένας πίπτειν, καὶ τὰς γαζέρας τῶν ἀλόγων
B κυΐσκεσθαι; Τί δ' ἂν εἴποι τις περὶ τοῦ γεωπόνου τοῦ καταπηγνύντος τῇ γῇ τὰς τῶν φυτῶν ἀποσπάδας; Πῶς ἡ τούτου χεὶρ συγκατέχωσε τῷ φυτῷ τὴν ἀνθρωπίνην ψυχὴν, συντρεχούσης τῆς ψυχικῆς πτεροῤῥυήσεως τῇ τοῦ ἀνθρώπου πρὸς τὴν φυτείαν ὁρμῇ; Τὸ αὐτὸ τοίνυν ἄτοπον καὶ ἐπὶ τοῦ ἑτέρου τῶν λόγων ἐςὶ, τὸ οἴεσθαι τὴν ψυχὴν τὰς συνόδους τῶν ἐν συζυγίᾳ ζώντων περιεργάζεσθαι ἢ τὰς λοχείας ἐπιτηρεῖν, ἵνα τοῖς φυομένοις σώμασιν εἰςκριθῶσιν. Εἰ δὲ ἀπείποι ὁ ἀνὴρ τὸν γάμον, ἡ δὲ
C γυνὴ ἑαυτὴν τῆς τῶν ὠδίνων ἀνάγκης ἐλευθερώσειεν, ἆρ' οὐ βαρήσει τὴν ψυχὴν ἡ κακία; Οὐκοῦν ὁ γάμος τῇ ἄνω κακίᾳ τὸ κατὰ τῶν ψυχῶν ἐνδύσιμον δίδωσιν, ἢ καὶ δίχα τούτου καθάπτεται τῆς ψυχῆς ἡ πρὸς τὸ ἐναντίον σχέσις. Οὐκοῦν ἄοικος ἐν τῷ μέσῳ καὶ ἀλῆτις ἡ ψυχὴ πεπλανήσεται, τῶν μὲν οὐρανίων ἀποῤῥυεῖσα, σώματος δὲ, ἂν οὕτω τύχῃ, πρὸς ὑποδοχὴν ἀμοιρήσασα. Εἶτα καὶ πῶς διὰ τούτων ἐπισατεῖν τὸ θεῖον τῶν ὄντων ὑπονοήσουσι,
D τῇ τυχαίᾳ ταύτῃ καὶ ἀλόγῳ τῶν ψυχῶν καταπτώσει τὰς ἀρχὰς τῆς ἀνθρωπίνης ἀνατιθέντες ζωῆς; ἀνάγκη γὰρ πᾶσα τῇ ἀρχῇ καὶ τὰ μετ' αὐτὴν συμφώνως ἔχειν· εἰ γὰρ ἐκ συντυχίας αὐτομάτου τινὸς ὁ βίος ἤρξατο, τυχ[illegible] πάντως καὶ ἡ κατ' αὐτὸν διέξοδος γίνεται. Καὶ μάτην τῆς θείας δυνάμεως οἱ τοιοῦτοι τὰ ὄντα ἐξάπτουσιν, οἱ μὴ βουλήματι θείῳ τὰ ἐν τῷ κόσμῳ φύεσθαι λέγοντες, ἀλλ' εἰς πονηράν τινα συντυχίαν τὰς ἀρχὰς τῶν γινομένων ἀνάγοντες, ὡς οὐκ ἂν συςάσης τῆς ἀνθρωπίνης ζωῆς, μὴ τοῦ κακοῦ δόντος τῇ ζωῇ τὸ ἐνδύσιμον. Εἰ οὖν ἡ ἀρχὴ τοῦ
237 βίου τοιαύτη, δηλαδὴ καὶ τὰ ἑφεξῆς κατὰ τὴν ἀρχὴν κι-
A νηθήσεται· οὐ γὰρ ἄν τις ἐκ κακοῦ καλὸν, οὐδὲ ἐξ ἀγαθοῦ τὸ ἐναντίον φύεσθαι λέγοι, ἀλλὰ κατὰ τὴν τοῦ σπέρματος φύσιν καὶ τοὺς καρποὺς ἀναμένομεν. Οὐκοῦν πάσης τῆς ζωῆς ἡ αὐτόματος αὕτη καὶ συντυχικὴ κίνησις ἡγεμονεύσει, μηδεμιᾶς προνοίας διὰ τῶν ὄντων ἠκούσης. Ἄχρηςος δὲ παντάπασι καὶ ἡ τῶν λογισμῶν ἕξαι προμή-

cere, ut innascatur vitium, adeo ut simul contingat, ut animae malo repletae cadant, et brutorum uteri concipiant? Quid vero dixerit quispiam de agricola, qui terrae infigit avulsos plantarum surculos? Quomodo manus eius una cum planta humanam animam infodit, concurrente, quibus spoliatur anima, pennarum defluxu cum hominis studio plantandi? Eadem autem absurditas est etiam in altera sententia, si quis putet animas coitus eorum, qui in coniugio vivunt, curiose explorare vel partus observare, ut procreatis corporibus inserantur. Sin autem repudiaverit vir nuptias, et mulier se ab necessitate pariendi liberaverit, an non animam gravabit vitium? Dant ergo nuptiae supero vitio ansam adversus animas, vel etiam absque iis animam invadit affectio, quae in contrarium est. Ergo interim domo carens atque errabunda anima vagabitur, quum a caelestibus defluxerit, et, si ita acciderit, corpus, quod eam reciperet, minime sit assequuta. Dein etiam quomodo per haec deum rebus praeesse in animum inducent, quum huic fortuito et ratione carenti animorum delapsui vitae humanae initia adscribant? necesse enim omnino est, ut principio etiam ea, quae id sequantur, conveniant: si enim a casu quodam temerario vita initium cepit, fortuita omnio etiam eius percursatio fit. Et temere a divina potentia tales homines ea, quae sunt, pendere faciunt, qui non voluntate divina res mundanas oriri dicunt, sed ad pravum quendam casum eorum, quae nascuntur, principia referunt, quasi non constitisset vita humana, nisi malum ansam vitae dedisset. Si ergo vitae est eiusmodi initium, nimirum etiam ea, quae deinceps sequuntur, convenienter initio movebuntur: nemo enim ex malo bonum, neque ex bono contrarium nasci dixerit, sed, prout fuerit seminis natura, ita fructus quoque exspectamus. Omnis ergo vitae temerarius hic et fortuitus motus dux erit, nulla providentia per ea, quae sunt, permeante. Inutilis autem prorsus erit, quae rationibus utitur, pruden-

θεια, τῆς δὲ ἀρετῆς κέρδος οὐδέν, καὶ τὸ πρὸς τὸ κακὸν
ἀλλοτρίως ἔχειν ἀντ᾽ οὐδενὸς ἂν εἴη· πάντα γὰρ πάντως
B ἐπὶ τῷ φέροντι κείσεται, καὶ οὐδὲν ὁ βίος διοίσει τῶν
ἀνερματίζων πλοίων, ταῖς αὐτομάτοις συντυχίαις οἷόν τι-
σι κύμασιν ἄλλοτε πρὸς ἄλλην καλῶν ἢ φαύλων συντυχί-
αν μεθορμιζόμενος· οὐ γὰρ ἔξι τὸ ἐξ ἀρετῆς ἐγγενέσθαι
κέρδος οἷς ἡ φύσις ἐκ τοῦ ἐναντίου τὴν ἀρχὴν ἔχει· εἰ
μὲν γὰρ θεόθεν οἰκονομεῖται ἡμῶν ἡ ζωή, τὸ μηδὲ κα-
κίαν κατάρχειν τῆς ζωῆς ἡμῶν συνομολογεῖται. Εἰ δὲ
δι᾽ ἐκείνης φυόμεθα, πάντη τε καὶ πάντως κατ᾽ αὐτὴν
βιοτεύσομεν. Λῆρος οὖν διὰ τούτων ἀποδειχθήσεται τὰ
C μετὰ τὸν τῇδε βίον δικαιωτήρια, καὶ ἡ πρὸς ἀξίαν ἀντα-
πόδοσις, καὶ ὅσα ἄλλα πρὸς ἀναίρεσιν τῆς κακίας λέγε-
ται καὶ πιστεύεται. Πῶς γὰρ δυνατὸν ἔξω ταύτης εἶναι
τὸν ἄνθρωπον τὸν δι᾽ ἐκείνης φύντα; πῶς δ᾽ ἂν καὶ ὁρ-
μή τις ἐγγένοιτο προαιρετικὴ τῷ ἀνθρώπῳ πρὸς τὸν
κατ᾽ ἀρετὴν βίον, οὗ ἡ φύσις ἐκ κακίας, ὡς λέγουσι, τὴν
ἀρχὴν ἔχει; ὡς γὰρ οὐκ ἐπιχειρεῖ τι τῶν ἀλόγων ζώων
ἀνθρωπικῶς φθέγξασθαι, τῇ δὲ συντρόφῳ καὶ κατὰ φύ-
σιν κεχρημένα φωνῇ οὐδεμίαν ἡγεῖται ζημίαν ἀμοιροῦντα
D τοῦ λόγου, κατὰ τὸν αὐτὸν τρόπον καὶ οἷς ἡ κακία νομί-
ζεται εἶναι τῆς ζωῆς ἀρχὴ καὶ αἰτία, οὐκ ἂν εἰς ἐπιθυ-
μίαν ἐλθοιεν τῆς ἀρετῆς, ὡς ἔξω τῆς φύσεως αὐτῶν οὔ-
σης. Ἀλλὰ μὴν πᾶσι τοῖς κεκαθαρμένοις ἐκ λογισμῶν
τὴν ψυχὴν διὰ σπουδῆς τε καὶ ἐπιθυμίας ὁ κατ᾽ ἀρετὴν
βίος ἐξίν. Ἆρα διὰ τούτου σαφῶς ἀποδείκνυται τὸ μὴ
πρεσβυτέραν εἶναι τῆς ζωῆς τὴν κακίαν, μηδ᾽ ἐκεῖθεν
τὰς πρώτας ἀρχὰς ἐσχηκέναι τὴν φύσιν, ἀλλὰ κατάρχειν
238 ἡμῶν τῆς ζωῆς τὴν τὸ πᾶν οἰκονομοῦσαν τοῦ θεοῦ σο-
A φίαν· ἐλθοῦσαν δὲ εἰς γένεσιν τὴν ψυχὴν κατὰ τὸν ἀρέ-
σκοντα τρόπον τῷ κτίσαντι τότε κατ᾽ ἐξουσίαν αὐτὴν αἱ-
ρεῖσθαι τὸ κατὰ γνώμην, ἐκ τῆς προαιρετικῆς δυνάμεως,
ὅ τί περ ἂν ἐθέλῃ, τοῦτο καὶ γινομένην. Μάθοιμεν δ᾽ ἂν
τὸν λόγον ἐκ τοῦ κατὰ τὸν ὀφθαλμὸν ὑποδείγματος, ᾧ
τὸ μὲν ὁρᾶν ἔξιν ἐκ φύσεως, τὸ δὲ μὴ ὁρᾶν ἐκ προαιρέ-
σεως ἢ καὶ πάθους· γένοιτο γὰρ ἄν ποτε καὶ τὸ παρὰ

tia, virtutis lucrum nullum, et a malo alienum esse pro nihilo ducetur: nam omnia omnino in eo, quod fert, sita erunt, et nihil differet vita a navigiis non saburratis, quae forturitis casibus tanquam aliquibus fluctibus alias ad alium bonorum vel malorum casum transferatur: non potest enim lucrum, quod ex virtute contingit, inesse iis, quorum natura ex contrario principium habet: nam si vita nostra divinitus regitur, non vitium vitae nostrae auctorem esse constat. Sin autem per illud procreamur, penitus ac prorsus ei convenienter vivemus. Nugas ergo per haec esse ostendetur loca ista post hanc vitam suppliciis destinata, et pro meritis remunerationem, et quaecunque alia ad tollendum vitium dicuntur et creduntur. Nam qui fieri potest, ut remotus ab eo sit homo, qui per illud procreatus est? quomodo item studium quoddam ab arbitrio profectum vitae cum virtute agendae homini innasci possit, cuius natura ex vitio, ut dicunt, initium habet? ut enim nullum ex brutis animalibus hominum more loqui conatur, et consueta naturalique voce utentia nullum se damnum accipere putant, si orationis expertia sint: eodem modo etiam ii, quibus vitium censetur esse vitae initium et causa, ad expetendam virtutem, utpote quae extra naturam eorum sit, adduci non possint. Atqui omnes, qui purgatam rationibus animam habent, studio et desiderio vitae cum virtute agendae tenentur. Quo sane aperte ostenditur vitium vita non esse antiquius, neque illinc primordia habuisse naturam; sed vitae nostrae dare initium dei sapientiam, quae res universas administrat: animam autem, quum ad generationem venerit, quemadmodum placet creatori, tunc libere eligere quod ex sua sit sententia, ut quae facultate voluntaria, quod velit, id etiam fiat. Discamus autem, quod dicitur, ab similitudine oculi, qui, ut videat, a natura habet; ut autem non videat, ex arbitrio suo vel etiam ex affectione: fuerit enim aliquando etiam id, quod praeter naturam est

τὴν φύσιν ἀντὶ τῆς φύσεως, ἢ ἑκουσίως τινὸς τὸν ὀ-
B φθαλμὸν μύοντος, ἢ ἐκ πάθους ξερηθέντος τῆς ὄψεως.
Οὕτως ἔξι καὶ τὴν ψυχὴν εἰπεῖν, θεόθεν μὲν εἶναι τὴν
σύγασιν αὐτῆς, μηδεμιᾶς δὲ νοουμένης περὶ τὸ θεῖον κα-
κίας ἔξω τῆς κατ᾽ αὐτὴν ἀνάγκης εἶναι· γενομένην δὲ οὕ-
τως τῇ ἰδίᾳ γνώμῃ πρὸς τὸ δοκοῦν ἄγεσθαι, ἢ ἐκ προ-
αιρέσεως πρὸς τὸ καλὸν ἐπιμύουσαν, ἢ ἐξ ἐπιβουλῆς τοῦ
συνοικοῦντος ἡμῶν τῇ ζωῇ πολεμίου τὸν ὀφθαλμὸν βλα-
πτομένην, καὶ ἐν τῷ τῆς ἀπάτης βιοτεύουσαν σκότῳ, ἢ
καὶ τὸ ἔμπαλιν καθαρῶς πρὸς τὴν ἀλήθειαν βλέπουσαν,
C πόῤῥω γίνεσθαι τῶν σκοτεινῶν παθημάτων. Πότε οὖν
ἐρεῖ τις γενομένην καὶ πῶς; Ἀλλὰ τὴν μὲν ζήτησιν τὴν
περὶ τοῦ πῶς τὸ καθ᾽ ἕκαστον γέγονεν, ἐξαιρετέον πάντη
τοῦ λόγου· οὐδὲ γὰρ περὶ τῶν προχείρων ἡμῖν εἰς κατα-
νόησιν ὧν τὴν ἀντίληψιν δι᾽ αἰσθήσεως ἔχομεν, δυνατὸν
ἂν γένοιτο τῷ διερευνωμένῳ λόγῳ τὸ πῶς ὑπέρη τὸ φαι-
νόμενον κατανοῆσαι, ὡς μήτε τοῖς θεοφορουμένοις καὶ
ἁγίοις ἀνδράσι τὸ τοιοῦτον ληπτὸν νομισθῆναι· Πίζει
γὰρ, φησὶν ὁ ἀπόστολος, νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶ-
D νας ῥήματι θεοῦ εἰς τὸ μὴ ἐκ φαινομένων τὰ ὁρώμενα
γεγονέναι· οὐκ ἂν, ὡς οἶμαι, τοῦτο εἶπὼν, εἴπερ ᾤετο
γνωστὸν εἶναι διὰ τῶν λογισμῶν τὸ ζητούμενον, ἀλλ᾽ ὅτι
μὲν θελήματι θείῳ κατήρτισαι αὐτός τε ὁ αἰὼν καὶ πάν-
τα τὰ ἐξ ἐκείνου γενόμενα, ὅ τί ποτε καὶ ἔζιν ὁ αἰὼν,
ᾧ παραθεωρεῖται πᾶσα ἡ ὁρατή τε καὶ ἀόρατος κτίσις,
τοῦτο πεπιζευκέναι φησὶν ὁ ἀπόστολος· τὸ δὲ πῶς ἀφῆ-
239 κεν ἀδιερεύνητον· οὐδὲ γὰρ ἐφικτὸν οἶμαι τὸ τοιοῦτον
A τοῖς ἀναζητοῦσιν εἶναι, πολλὰς ἀμηχανίας τοῦ περὶ τού-
των ζητήματος ἡμῖν προδεικνύοντος· πῶς ἐκ τῆς ἑζώσης
φύσεως τὸ κινούμενον, ἐκ τῆς ἁπλῆς τε καὶ ἀδιαζάτου
τὸ διαζημιατικόν τε καὶ σύνθετον; ἆρα ἐξ αὐτῆς τῆς ὑπερ-
κειμένης οὐσίας; Ἀλλ᾽ οὐχ ὁμολογεῖται τῷ ἑτερογενῶς
ἔχειν πρὸς ἐκείνην τὰ ὄντα. Ἀλλ᾽ ἑτέρωθέν ποθεν; Καὶ
μὴν οὐδὲν ἔξω τῆς θείας φύσεως ὁ λόγος βλέπει· ἢ γὰρ
B ἂν διαζισθείη πρὸς διαφόρους ἀρχὰς ἡ ὑπόληψις, εἴ τι
τῆς ποιητικῆς αἰτίας ἔξω νομισθείη, παρ᾽ οὗ ἡ τεχνικὴ

pro natura, aut sua sponte aliquo oculos claudente, aut ex affectione usu oculorum adempto. Ita etiam de anima dici potest, divinitus quidem eam esse constitutam, et quum in deo nullum esse intelligatur vitium, eam esse extra eius necessitatem; quum autem hac conditione facta sit, sua voluntate duci, quo visum fuerit, vel ex arbitrio suo ad bonum oculos claudentem, vel ex insidiis istius hostis, qui cum vita nostra conversatur, vitio oculi affectam et in fraudis viventem tenebris, vel etiam contra pure in veritatem intuentem a tenebricosis affectionibus procul esse. Quando igitur dicet aliquis eam esse factam et quomodo? Sed quaestio quidem, quomodo facta sint singula, eximenda omnino est ex oratione: neque enim de iis, quae nobis animadversu facilia sunt, quorum perceptionem sensu adipiscimur, fieri possit, ut ratio indagatrix, quomodo id, quod appareret, in rerum naturam productum sit, cognoscat, adeo ut ne numine quidem divino afflatis sanctisque viris id comprehendi posse existimetur: Fide enim, inquit apostolus, intelligimus, aptata esse saecula verbo dei, ut non ex apparentibus ea, quae videntur, fierent: quod, ut opinor, non dixisset, si quidem cognosci posse existimasset per rationes id, quod intelligitur; sed dei quidem voluntate aptatum esse et ipsum saeculum, et omnia, quae ex illo facta sunt (quodcunque etiam sit illud saeculum, quo consideratur quaelibet res creata, tam adspectabilis, quam quae non cadit sub adspectum), hoc se credidisse dicit apostolus: quomodo autem, inscrutatum reliquit: neque enim arbitror fieri posse, ut id assequantur qui inquirunt, quum multas difficultates de his rebus quaestio nobis ostendat: quomodo exstante natura id, quod movetur, ex simplici atque intervalli experte id, quod intervallis obnoxium atque compositum est? num ex ipsa suprema essentia? Sed non constat, propterea quod res diversi ab illo generis sint. Sed aliunde? Atqui nihil extra divinam naturam oratio cernit: nam revera vel scissa fuerit opinio in diversa principia, si quid extra causam efficientem esse censeretur, a quo arti-

σοφία τὰς πρὸς τὴν κτίσιν παρασκευὰς ἐρανίζεται. Ἐπεὶ
οὖν ἓν μὲν τῶν ὄντων τὸ αἴτιον, οὐχ ὁμογενῆ δὲ τῇ ὑπερ-
κειμένῃ φύσει τὰ δι' ἐκείνης παραχθέντα εἰς γένεσιν·
ἴση δὲ καθ' ἑκάτερον ἐν τοῖς ὑπονοουμένοις ἡ ἀτοπία,
τό τε ἐκ τῆς φύσεως τοῦ θεοῦ τὴν κτίσιν οἴεσθαι καὶ τὸ
ἐξ ἑτέρας τινὸς οὐσίας ὑποςῆναι τὰ πάντα· ἢ γὰρ καὶ
τὸ θεῖον ἐν τοῖς τῆς κτίσεως ἰδιώμασιν εἶναι ὑπονοηθή-
σεται, εἴπερ ὁμογενῶς πρὸς τὸν θεὸν ἔχει τὰ γεγονότα·
C ἢ τις ὑλικὴ φύσις ἔξω τῆς θείας οὐσίας ἀντεισαχθήσε-
ται, τῷ θεῷ κατὰ τὸ ἀγέννητον τῇ ἀϊδιότητι τοῦ ὄντος
παρισουμένη, ὅπερ δὴ καὶ Μανιχαῖοι φαντασθέντες, καί
τινες ἐκ τῆς Ἑλληνικῆς φιλοσοφίας ταῖς ἴσαις ὑπονοίαις
συνενεχθέντες δόγμα τὴν φαντασίαν ταύτην πεποίηνται.
Ὡς δ' ἂν οὖν μάλιςα ἐκφύγοιμεν τὴν ἐφ' ἑκάτερον ἀτο-
πίαν ἐν τῇ ζητήσει τῶν ὄντων, κατὰ τὸ τοῦ ἀποςόλου
ὑπόδειγμα ἀπολυπραγμόνητον τὸν λόγον τὸν περὶ τοῦ
D πῶς ἕκαςον ἔςι καταλείψομεν, τοσοῦτον παρασημηνάμε-
νοι μόνον, ὅτι ἡ ὁρμὴ τῆς θείας προαιρέσεως, ὅταν ἐθέ-
λῃ, πρᾶγμα γίνεται καὶ οὐσιοῦται τὸ βούλημα, εὐθὺς φύ-
σις γινόμενον, τῆς παντοδυνάμου ἐξουσίας, ὅπερ ἂν σο-
φῶς τε καὶ τεχνικῶς ἐθελήσῃ, μὴ ἀνυπόςατον ποιούσης
τὸ θέλημα. Ἡ δὲ τοῦ θελήματος ὕπαρξις οὐσία ἐςί.
Διχῇ δὲ διηρημένων τῶν ὄντων εἰς τὸ νοερόν τε καὶ σω-
240 ματικὸν, ἡ μὲν τῶν νοερῶν κτίσις οὐ δοκεῖ πως ἀπᾴδειν
A τῆς τοῦ ἀσωμάτου φύσεως, ἀλλ' ἐκ τοῦ σύνεγγυς εἶναι,
τὸ ἀειδές τε καὶ ἀναφὲς καὶ ἀδιάςατον δεικνύουσα· ὅπερ
δὴ καὶ περὶ τὴν ὑπερκειμένην φύσιν ὑπονοῶν τις οὐχ
ἁμαρτήσεται. Τῆς δὲ σωματικῆς κτίσεως ἐν ἀκοινωνή-
τοις ὡς πρὸς τὸ θεῖον τοῖς ἰδιώμασι θεωρουμένης, καὶ
ταύτης μάλιςα τὴν πολλὴν ἀμηχανίαν ἐμποιούσης τῷ λό-
γῳ, μὴ δυναμένῳ κατιδεῖν, πῶς ἐκ τοῦ ἀοράτου τὸ ὁρώ-
B μενον, ἐκ τοῦ ἀναφοῦς τὸ ςερρὸν καὶ ἀντίτυπον, ἐκ τοῦ
ἀορίςου τὸ ὡρισμένον, ἐκ τοῦ ἀπόσου τε καὶ ἀμεγέθους
τὸ πάντως μέτροις τισὶ τοῖς κατὰ τὸ ποσὸν θεωρουμέ-
νοις περιειργόμενον, καὶ τὰ καθ' ἕκαςον, ὅσα περὶ τὴν
σωματικὴν καταλαμβάνεται φύσιν περὶ ὧν τοσοῦτόν φα-

ficiosa sapientia, qui ad creationem pertinent, apparatus corroget. Quoniam igitur eorum, quae sunt, una causa est, nec eiusdem cum suprema natura generis sunt ea, quae per illam procreata sunt: aeque absurdum est utrumque, et ex dei natura existimare rem creatam, et ex alia quadam essentia subsistere res universas: aut enim deum quoque in proprietatibus rei creatae esse existimabitur, si quidem, quae facta sunt, eiusdem cum deo sunt generis: aut aliqua materialis natura extra divinam essentiam contra introducetur, quae deo, quod attinet ingenitum, aeternitate eius, quod est, exaequatur: quod nimirum et Manichaei imaginati et quidam Graecorum philosophorum, iisdem opinionibus assentientes, hoc visum pro dogmate habuerunt. Ut ergo maxime effugiamus eam, quae ex utraque parte exsistit, absurditatem in quaestione de rebus universis, apostoli exemplo rationem illam, quomodo sit unumquodque, curiose inquirere praetermittemus, id solum obiter indicantes, quod motus divinae voluntatis, quum voluerit, res fit, et voluntas ad essentiam redigitur, statim in naturam evadens, quum omnipotens potestas, quodcunque sapienter et artificiose voluerit, non vanam reddat eam voluntatem. Voluntatis autem substantia essentia est. Quum autem ea, quae sunt, bifarium divisa sint, in intelligens et corporeum, res quidem creata, quae est ex intelligentibus, non videtur aliquo modo discrepare ab incorporei natura, sed esse ex propinquo, ostendens id, quod neque videri, neque contrectari, neque intervallo disiungi potest: quod utique si quis etiam de suprema natura suspicetur, non aberrabit. Quum autem corporea creatura in proprietatibus, quae cum deo nihil commune habent, consideretur, eaque potissimum magnam illam difficultatem afferat rationi, quae perspicere non potest, quo pacto ex eo, quod non est adspectabile, exstiterit id quod videtur; ex eo, quod tangi non potest, id, quod durum est atque renitens; ex indefinito id, quod est definitum; ex eo, quod quantitate et magnitudine caret, id, quod omnino quibusdam mensuris, quae considerantur in quantitate, continetur, et singula, quae in corporea comprehenduntur natura

μεν, ὅτι οὐδὲν ἐφ' ἑαυτοῦ τῶν περὶ τὸ σῶμα θεωρουμένων σῶμά ἐστιν, οὐ σχῆμα, οὐ χρῶμα, οὐ βάρος, οὐ διάστημα, οὐ πηλικότης, οὐκ ἄλλο τι τῶν ἐν ποιότητι θεωρουμένων οὐδέν, ἀλλὰ τούτων ἕκαστον λόγος ἐστίν· ἡ δὲ πρὸς ἄλληλα συνδρομὴ τούτων καὶ ἕνωσις σῶμα γίνεται·
C ἐπεὶ οὖν αἱ συμπληρωτικαὶ τοῦ σώματος ποιότητες νῷ καταλαμβάνονται καὶ οὐκ αἰσθήσει, νοερὸν δὲ τὸ θεῖον, τίς πόνος τῷ νοητῷ τὰ νοητὰ κατεργάσασθαι, ὧν ἡ πρὸς ἄλληλα συνδρομὴ τὴν τοῦ σώματος ἡμῖν ἀπεγέννησε φύσιν; Ἀλλὰ ταῦτα μὲν ἔξω τοῦ προκειμένου παρεξητάσθω. Τὸ δὲ ζητούμενον ἦν· εἰ μὴ προϋφεσήκασιν αἱ ψυχαὶ τῶν σωμάτων, πότε καὶ πῶς γίνονται; Καὶ τούτου χάριν ἡμῖν τὴν μὲν περὶ τοῦ πῶς ζήτησιν ὡς ἀνέκφικτον οὖσαν
D ἀπολυπραγμόνητον ἀφῆκεν ὁ λόγος· περὶ δὲ τοῦ πότε τὰς ἀρχὰς αἱ ψυχαὶ τῆς ὑπάρξεως ἔχουσιν, ὡς ἀκόλουθον ὂν τοῖς προεξητασμένοις, ζητεῖν καταλείπεται· εἰ γὰρ δοθείη τὸ πρὸ τοῦ σώματος ἐν ἰδιαζούσῃ τινὶ καταστάσει τὴν ψυχὴν βιοτεύειν, ἀνάγκη πᾶσα τὰς ἀτόπους ἐκείνας δογματοποιΐας ἰσχὺν ἔχειν νομίσαι τῶν διὰ κα-
241 κίας τὰς ψυχὰς εἰσοικιζόντων τοῖς σώμασιν. Ἀλλὰ μὴν
A ἐφυσερίζειν τῶν ψυχῶν τὴν γένεσιν, καὶ νεωτέραν τῆς τῶν σωμάτων εἶναι συμπλάσεως οὐδεὶς ἂν τῶν εὖ φρονούντων ὑπονοήσειεν, φανεροῦ πᾶσιν ὄντος, ὅτι οὐδὲν τῶν ἀψύχων κινητικήν τε καὶ αὐξητικὴν ἐν ἑαυτῷ δύναμιν ἔχει· τῶν δὲ τῇ νηδύϊ ἐντρεφομένων οὔτε ἡ αὔξησις, οὔτε ἡ τοπικὴ κίνησίς ἐστιν ἀμφισβητήσιμός τε καὶ ἀμφίβολος. Λείπεται οὖν μίαν καὶ τὴν αὐτὴν ψυχῆς τε καὶ σώματος τὴν ἀρχὴν τῆς συστάσεως οἴεσθαι. Καὶ ὥσπερ τῆς ῥίζης
B τὴν ἀποσπάδα λαβοῦσα παρὰ τῶν γεηπόνων ἡ γῆ δένδρον ἐποίησεν, οὐκ αὐτὴ τὴν αὐξητικὴν ἐνθεῖσα τῷ τρεφομένῳ δύναμιν, ἀλλὰ μόνον τὰς πρὸς τὴν αὔξησιν ἀφορμὰς ἐνιεῖσα τῷ ἐγκειμένῳ, οὕτω φαμὲν καὶ τὸ ἐκ τοῦ ἀνθρώπου ἀποσπώμενον πρὸς ἀνθρώπου φυτείαν καὶ
* αὐτὸ τρόπον τινὰ ζῶον εἶναι, ἐξ ἐμψύχου ἔμψυχον, ἐκ τρεφομένου τρεφόμενον. Εἰ δὲ μὴ πάσας τὰς τῆς ψυχῆς ἐνεργείας τε καὶ κινήσεις ἡ βραχύτης τῆς ἀποσπάδος ἐχώ-

(de quibus tantum dicimus, quod eorum, quae in corpore considerantur, nihil per se corpus est, non figura, non color, non gravitas, non intervallum, non quantitas, non aliud quicquam eorum, quae in qualitate considerantur, sed horum unumquodque ratio est; horum autem inter se concursus et unitio corpus fit): quoniam igitur, quae corpus complent, qualitates mente, non sensu comprehenduntur, et intelligens numen divinum est, quis labor est ei, quod mente percipitur, ea, quae mente percipiuntur, efficere, quorum, qui fit inter ipsa, concursus nobis genuit corporis naturam? Sed haec quidem extra propositum obiter sint examinata. Quaestio autem erat: si animae non fuerunt ante corpora, quando et quomodo fiunt? Et iccirco quaestionem illam, quomodo hae essent, ut quam assequi non posset, curiose inquirere misit oratio; restat autem, ut quaeramus quando animae esse incipiant, ut quod sit consequens iis, quae prius sunt examinata: nam si datum fuerit, quod ante corpus in peculiari quodam statu anima vivat, necesse est omnino, ut absurdas illas dogmatum fictiones eorum, qui per vitium animas in corpora ad habitandum inducunt, vires habere existimemus. Atqui posteriorem esse animarum originem, eamque recentiorem corporum esse formatione, nemo sana mente praeditus in animum induxerit, quum perspicuum sit omnibus, nihil inanimorum movendi et augendi in se ipso facultatem habere: eorum autem, qui in utero nutriuntur, neque incrementum, neque per locum motus controversus atque ambiguus est. Restat igitur, ut putemus unum et idem animae et corporis constitutionis esse principium. Et quemadmodum terra, si surculum, ab radice avulsum, ab agricolis acceperit, arborem efficit, non ipsa ei, quod nutritur, augendi vim iniiciens, sed solum, ut augeatur, ansam et materiam insito immittens: ita dicimus etiam id, quod ab homine avellitur, ad hominis sationem, et ipsum quodammodo animal esse, ex animato animatum, ex nutrito nutritum. Quod si non omnes animae operationes et motus eius, quod est avulsum,

ρησε, θαυμαζὸν οὐδέν· οὐδὲ γὰρ ὁ ἐν τῷ σπέρματι σῖ-
C τος εὐθὺς κατὰ τὸ φαινόμενον ϛάχυς ἐϛί· πῶς γὰρ ἂν
τὸ τοσοῦτον ἐν τῷ τοσούτῳ χωρήσειεν; ἀλλὰ τῆς γῆς αὐτὸν
ταῖς καταλλήλοις τιθηνουμένης τροφαῖς, ϛάχυς ὁ σῖτος
γίνεται, οὐκ ἐξαλλάσσων ἐν τῇ βώλῳ τὴν φύσιν, ἀλλ' ἐκ-
φαίνων ἑαυτὸν καὶ τελειῶν τῇ τῆς τροφῆς ἐνεργείᾳ. Ὡς-
περ οὖν ἐπὶ τῶν φυομένων σπερμάτων κατ' ὀλίγον ἡ αὔ-
ξησις ἐπὶ τὸ τέλειον πρόεισι, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ
τῆς ἀνθρωπίνης συϛάσεως πρὸς λόγον τῆς σωματικῆς πο-
D σότητος καὶ ἡ τῆς ψυχῆς διαφαίνεται δύναμις, πρῶτον
μὲν διὰ τοῦ θρεπτικοῦ τε καὶ αὐξητικοῦ τοῖς ἔνδοθεν
πλασσομένοις ἐγγινομένη, μετὰ ταῦτα δὲ τὴν αἰσθητικὴν
χάριν τοῖς εἰς φῶς προελθοῦσιν ἐπάγουσα· εἶθ' οὕτω
καθάπερ τινὰ καρπὸν, αὐξηθέντος ἤδη τοῦ φυτοῦ, με-
τρίως τὴν λογικὴν ἐκφαίνουσα δύναμιν, οὐ πᾶσαν κατὰ
τὸ ἀθρόον, ἀλλὰ τῇ ἀναδρομῇ τοῦ φυτοῦ δι' ἀκολούθου
προκοπῆς συναυξομένη. Ἐπειδὴ τοίνυν τὸ ἐκ τῶν ἐμψύ-
χων εἰς ἀφορμὴν ἐμψύχου συϛάσεως ἀποσπώμενον νε-
242 κρὸν εἶναι οὐ δύναται· ἡ γὰρ νεκρότης κατὰ ψυχῆς ϛέ-
A ρησιν γίνεται· οὐκ ἂν δὲ προλάβοι τὴν ἕξιν ἡ ϛέρησις·
ἐκ τούτων καταλαμβάνομεν τὸ κοινὴν τῷ ἐξ ἀμφοτέρων
συνιϛαμένῳ συγκρίματι τὴν εἰς τὸ εἶναι πάροδον γίνεσθαι,
οὔτε τούτου προτερεύοντος, οὔτ' ἐκείνου ἐφυϛερίζοντος·
ϛάσιν δέ ποτε τῆς τοῦ ἀριθμοῦ τῶν ψυχῶν αὐξήσεως ἀ-
ναγκαίως προορᾷ ὁ λόγος, ὡς ἂν μὴ διὰ παντὸς ῥέοι ἡ
φύσις, ἀεὶ διὰ τῶν ἐπιγινομένων ἐπὶ τὸ πρόσω χεομένη
καὶ οὐδέποτε τῆς κινήσεως λήγουσα· τὴν δὲ αἰτίαν τοῦ
B δεῖν πάντως ϛάσιμόν ποτε καὶ τὴν ἡμετέραν γίνεσθαι
φύσιν ταύτην οἰόμεθα, ὅτι πάσης τῆς νοητῆς φύσεως ἐν
τῷ ἰδίῳ πληρώματι ἑϛώσης εἰκός ποτε καὶ τὸ ἀνθρώπι-
νον εἰς πέρας ἐλθεῖν· οὐδὲ γὰρ τοῦτο τῆς νοητῆς ἠλλο-
τρίωται φύσεως, ὡς μὴ πάντοτε δοκεῖν ἐν τῷ ἐλλείποντι
καθορᾶσθαι· ἡ γὰρ ἀεὶ τῶν ἐπιγινομένων προσθήκη κα-
τηγορία τοῦ ἐλλιπῶς ἔχειν τὴν φύσιν γίνεται. Ἐπειδὰν
οὖν εἰς τὸ οἰκεῖον πλήρωμα τὸ ἀνθρώπινον φθάσῃ, ϛή-
C σεται πάντως ἡ ῥοώδης αὕτη τῆς φύσεως κίνησις εἰς τὸ

brevitas capit, non mirandum: neque enim, quod est in semine, frumentum statim, prout apparet, spica est (quo pacto enim tantum in tanto continuerit?), sed terra convenientibus id alente nutrimentis frumentum fit spica, non mutans in gleba naturam, sed ope nutrimenti se ipsum ostendens ac perficiens. Quemadmodum igitur in iis, quae nascuntur, seminibus, paulatim incrementum ad perfectionem procedit: eodem modo etiam in humana constitutione, pro corporeae qualitatis proportione, etiam animae vis apparet, quae primum quidem per alendi et augendi facultatem inest iis, quae intus formantur; postea autem sentiendi munus iis, quae in lucem edita sunt, inducit: deinde ita veluti quendum fructum, quum creverit iam planta, mediocriter rationis exserit facultatem, non totam simul et illico, sed quae excurrente planta per consequentiam profectus simul augetur. Quoniam igitur quod ab animatis avellitur, ut sit occasio et materia animatae constitutionis, mortuum esse non potest (mortalitas enim fit animae privatione: non praecesserit autem habitum privatio): ex his deprehendimus communem esse aditum ad essentiam ei, quae ex utroque constat, coagmentationi, quum neque hoc sit prius, neque illud posterius; statum autem incrementi numeri animarum necessario quandoque praevidet ratio, ne perpetuo fluat natura, semper per eas, quae nascendo sequuntur, ulterius manans, nec unquam moveri desinens. Causam autem, cur oporteat omnino stabilem aliquando nostram quoque esse naturam, hanc esse putamus, quod, quum universa natura, quae mente percipitur, in sua plenitudine consistat, par est aliquando humanam quoque naturam ad finem pervenire (nam ne haec quidem aliena est a natura, quae mente percipitur), ne semper manca ac defecta videatur: nam quae semper fit accessio eorum, qui nascendo sequuntur, arguit defectam esse naturam. Quando igitur humana natura ad suam pervenerit plenitudinem, sistetur omnino fluxus hic naturae motus, ut qui devenerit ad necessa-

ἀναγκαῖον καταντήσασα πέρας, καί τις ἑτέρα κατάσασις τὴν ζωὴν διαδέξεται, τῆς νῦν ἐν γενέσει καὶ φθορᾷ διεξαγομένης κεχωρισμένη· μὴ οὔσης γὰρ γενέσεως κατὰ πᾶσαν ἀνάγκην οὐδὲ τὸ φθειρόμενον ἔσαι· εἰ γὰρ πρὸ τῆς διαλύσεως ἡ σύνθεσις ἄρχεται· σύνθεσιν δέ φαμεν τὴν διὰ γενέσεως πάροδον· ἀκόλουθον πάντως μὴ καθηγουμένης τῆς συνθέσεως μηδὲ τὴν διάλυσιν ἕπεσθαι. Οὐκοῦν ἑσῶσά τις καὶ ἀδιάλυτος ἡ μετὰ ταῦτα ζωὴ δι' ἀκο-
D λούθου προφαίνεται πίσεως, οὔτε ὑπὸ γενέσεως, οὔτε ὑπὸ φθορᾶς ἀλλοιουμένη.

ΓΡΗΓ. Ἐγὼ δὲ ταῦτα διεξελθούσης τῆς διδασκάλου, ἐπειδὴ τοῖς πολλοῖς τῶν παρακαθημένων ἐδόκει τὸ προσῆκον ἐσχηκέναι πέρας ὁ λόγος, φοβηθεὶς μὴ οὐκέτ' εἴη ὁ διαλύων ἡμῖν τὰ περὶ τῆς ἀναςάσεως παρὰ τῶν ἔξωθεν προφερόμενα, εἴ τι ἐκ τῆς ἀῤῥωσίας ἡ διδάσκαλος πάθοι, ὃ δὴ καὶ ἐγένετο· Οὕπω, φημὶ, τοῦ κυριωτάτου
243 τῶν κατὰ τὸ δόγμα ζητουμένων ὁ λόγος ἥψατο· φησὶ γὰρ
A ἡ Θεόπνευσος γραφὴ κατά τε τὴν νέαν καὶ τὴν ἀρχαίαν διδασκαλίαν, πάντως ποτὲ τάξει τινὶ καὶ εἰρμῷ τῆς φύσεως ἡμῶν κατὰ τὴν περιοδικὴν τοῦ χρόνου κίνησιν διεξιούσης, ςήσεσθαι μὲν τὴν ῥοώδη ταύτην φορὰν τὴν διὰ τῆς τῶν ἐπιγινομένων διαδοχῆς προϊοῦσαν· τῆς δὲ τοῦ παντὸς συμπληρώσεως μηκέτι τὴν ἐπὶ τὸ πλεῖον ἐξαύξησιν προσδεχομένης, ἅπαν τὸ τῶν ψυχῶν πλήρωμα πάλιν ἐκ τοῦ ἀειδοῦς καὶ ἐσκεδασμένου πρὸς τὸ συνεχὸς καὶ φαινόμενον ἐπανελεύσεσθαι, τῶν αὐτῶν ςοιχείων κατὰ
B τὸν αὐτὸν εἱρμὸν πρὸς ἄλληλα πάλιν ἀναδραμόντων. Ἡ δὲ τοιαύτη τῆς ζωῆς κατάσασις παρὰ τῆς Θείας τῶν γραφῶν διδασκαλίας ἀνάσασις λέγεται, τῇ τοῦ γεώδους ἀνορθώσει πάσης τῆς τῶν ςοιχείων κινήσεως συνονομαζομένης.

ΜΑΚΡ. Τί οὖν, φησὶ, τούτων ἀμνημόνευτον ἐν τοῖς προειρημένοις ἐςίν;

ΓΡΗΓ. Αὐτὸ, φημὶ, τὸ δόγμα τῆς ἀναςάσεως.

ΜΑΚΡ. Καὶ μὴν πολλὰ, φησὶ, τῶν νῦν διεξοδικῶς εἰρημένων πρὸς τοῦτον τὸν σκοπὸν φέρει.

rium finem, et vitam excipiet quidam alius status, separatus ab eo, qui nunc transigitur in ortu et interitu; si enim non sit ortus, necessario ne erit quidem, quod intereat: nam si dissolutionem praecedit compositio (compositionem autem dicimus aditum, qui fit per generationem) consequens est omnino, ut, si non praecedat compositio, ne dissolutio quidem sequatur. Stans ergo et indissolubilis, quae postea sequitur, vita per fidei consequentiam evidenter apparet, quum neque ortu, neque interitu immutetur.

GREG. Ego autem, quum haec exposuisset magistra, quoniam plurimis eorum, qui assidebant, oratio quem par erat finem accepisse videbatur, veritus ne non esset amplius qui nobis dissolveret quae de resurrectione nobis obiiciuntur ab externis, si quid magistrae ex morbo humanitus accideret, quod etiam accidit: Nondum, inquam, quod praecipuum est eorum, quae in dogmate quaeruntur, oratio attigit: dicunt enim divinae literae et in nova et in veteri doctrina, quum natura nostra ordine quodam ac serie per temporis motum circuitu certo redeuntem pervaserit, prorsus aliquando fore ut sistatur fluxus quidem hic motus, per successionem eorum, qui nascendo sequuntur, progrediens; universitatis autem complemento non amplius incrementum suscipiente, universum animarum coetum rursus ex eo, quod non cadat sub adspectum atque dispersum sit, ad id, quod consistat et appareat, redituram esse, iisdem elementis eadem serie ad se invicem iterum recurrentibus. Talis autem vitae status a divina literarum doctrina dicitur resurrectio, universo elementorum motu cum eius, quod terrenum est, erectione simul nominato.

MACR. Quid est ergo, inquit, horum, cuius non meminimus in iis, quae supra dicta sunt?

GREG. Ipsum, inquam, dogma resurrectionis.

MACR. Atqui, inquit, multa eorum, quae nunc fuse dicta sunt, ad hunc scopum tendunt.

ΓΡΗΓ. Οὐ γὰρ οἶδας, εἶπον, ὅσον παρὰ τῶν ἀντι-
C τεταγμένων ἡμῖν περὶ τῆς ἐλπίδος ταύτης ἀντιθέσεων ἀνθυποφέρεται σμῆνος; Καὶ ἅμα λέγειν ἐπεχείρουν ὅσα πρὸς ἀνατροπὴν τῆς ἀναζάσεως παρὰ τῶν ἐριστικῶν ἐφευρίσκεται.

ΜΑΚΡ. Ἡ δέ· Δοκεῖ μοι, φησὶ, χρῆναι πρότερον τὰ σποράδην παρὰ τῆς θείας γραφῆς περὶ τούτου τοῦ δόγματος ἐκτεθέντα δι' ὀλίγων ἐπιδραμεῖν, ὡς ἂν ἐκεῖθεν ἡμῖν ἡ κορωνὶς ἐπιτεθείη τῷ λόγῳ. Ἤκουσα τοίνυν τοῦ Δαβὶδ ὑμνολογοῦντος ἐν θείαις ᾠδαῖς, ὅτε τὴν τοῦ παντὸς διακόσμησιν ὑπόθεσιν τοῦ ὕμνου πεποιημένος ἐν
B ἑκατοστῷ τριτῷ ψαλμῷ πρὸς τῷ τέλει τῆς ὑμνῳδίας τοῦτό φησιν, ὅτι ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν· ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς, τὴν πάντα ἐν πᾶσιν ἐνεργοῦσαν τοῦ πνεύματος δύναμιν ζωοποιεῖν τε λέγων οἷς ἂν ἐγγένηται, καὶ ἀφιξᾶν τῆς ζωῆς ἔμπαλιν ὧν ἂν ἀπογένηται. Ἐπεὶ οὖν τῇ μὲν ἀναχωρήσει τοῦ πνεύματος τὴν τῶν ζώντων ἔκλειψιν, τῇ δὲ τούτου παρουσίᾳ τὸν τῶν ἐκλελοιπότων ἀνακαινισμὸν γίνεσθαι λέγει, προηγεῖται δὲ κατὰ τὴν τοῦ
244 λόγου τάξιν τῶν ἀνακαινιζομένων ἡ ἔκλειψις, τοῦτο ἐκεῖ-
A νό φαμεν, τὸ κατὰ τὴν ἀνάζασιν καταγγέλλεσθαι τῇ ἐκκλησίᾳ μυςήριον, τῷ προφητικῷ πνεύματι τοῦ Δαβὶδ τὴν χάριν ταύτην προεκφωνήσαντος. Ἀλλὰ καὶ ἑτέρωθί φησιν ὁ αὐτὸς οὗτος προφήτης ὅτι ὁ τοῦ παντὸς θεὸς, ὁ τῶν ὄντων κύριος, ἐπέφανεν ἡμῖν ἐπὶ τῷ συςήσασθαι τὴν ἑορτὴν ἐν τοῖς πυκάζουσι, τὴν τῶν σκηνοπηγιῶν ἑορτὴν διὰ τῆς τοῦ πυκασμοῦ λέξεως ἑρμηνεύων, ἣ πάλαι μὲν ἐκ τῆς παραδόσεως τοῦ Μωϋσέως νενόμιςο· προ-
D φητικῶς, οἶμαι, τὰ μέλλοντα τοῦ νομοθέτου προαγορεύοντος· ἀεὶ δὲ γινομένη, οὔπω ἐγεγόνει· προεδηλοῦτο μὲν γὰρ τοῖς τῶν γινομένων αἰνίγμασι τυπικῶς ἡ ἀλήθεια· αὐτὴ δ' ἡ ἀληθὴς σκηνοπηγία οὔπω ἦν· ἀλλὰ τούτου χάριν κατὰ τὸν προφητικὸν λόγον ὁ θεὸς τῶν ὅλων καὶ κύριος ἑαυτὸν ἐπέφανεν ἡμῖν, ὡς ἂν συςαίη τῇ ἀνθρω-

GREG. Nescisne, inquam, quantum ab adversariis nostris de hac spe obiectionum examen adversus nos inferatur? Ac simul dicere conabar quae ad evertendam resurrectionem ab hominibus contentiosis inveniuntur.

MACR. Illa autem: Videtur mihi, inquit, oportere quae de hoc dogmate a divinis literis sparsim sint exposita, prius paucis percurrere, ut illinc a nobis orationi imponatur finis. Audivi igitur Davidem psallentem in divinis cantionibus, quum, universitatis constitutione hymni argumento sumpta, in psalmo centesimo tertio circa finem cantionis hoc dicit: Auferes spiritum eorum, et deficient, et in pulverem suum convertentur: emittes spiritum tuum, et creabuntur, et renovabis faciem terrae, dicens vim spiritus, omnia in omnibus efficientem, vivificare eos, in quibus fuerit, rursusque a vita abducere eos, a quibus abfuerit. Quoniam igitur recedente quidem spiritu viventium defectum, praesente autem illo eorum, qui defecerint, renovationem fieri dicit, et in ordine orationis ea, quae renovantur, defectus praecedit, hoc ipsum dicimus, resurrectionis mysterium annuntiari ecclesiae, spiritu prophetico Davide hanc gratiam praedicente. Quin etiam alibi dicit idem hic propheta: Universitatis deus, rerum dominus, apparuit nobis ad constituendum festum in condensis, festum scenopegiorum voce condensationis interpretans, quod olim quidem ex traditione Mosis lege constitutum erat, prophetice, opinor, legislatore futura praedicente: quum autem semper fieret, nondum factum erat: nam eorum quidem, quae fiebant, aenigmatis figurate significabatur veritas; ipsa autem vera nondum erat scenopegia; sed ea de causa, ut dicit propheta, rerum universarum deus et dominus se ipsum nobis ostendit, ut constitueretur humanae naturae scenopegia habitaculi nostri dissoluti, rursus per coitionem

πίνῃ φύσει ἡ τοῦ διαλυθέντος ἡμῶν οἰκητηρίου σκηνοπηγία, πάλιν διὰ τῆς συνόδου τῶν στοιχείων σωματικῶς πυκαζομένη· τὴν γὰρ περιβολὴν καὶ τὸν ἐκ ταύτης κόσμον ἡ τοῦ πυκασμοῦ λέξις κατὰ τὴν ἰδίαν ἔμφασιν διασημαίνει. Ἔχει δὲ ἡ ῥῆσις τῆς ψαλμῳδίας τοῦτον τὸν τρόπον· Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν· συςήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαςηρίου, ὅπερ δοκεῖ μοι προαναφωνεῖν δι' αἰνίγματος τὸ μίαν ἑορτὴν πάσῃ τῇ λογικῇ κτίσει συνίσασθαι, τῶν ὑποδεεςέρων τοῖς ὑπερέχουσιν ἐν τῇ τῶν ἀγαθῶν συνοδίᾳ συγχορευόντων· ἐπειδὴ γὰρ ἐν τῇ τυπικῇ τοῦ ναοῦ κατασκευῇ οὐ πᾶσιν ἐφεῖτο τῆς ἔξωθεν περιβολῆς ἐντὸς γενέσθαι, ἀλλ' ἀπεκέκριτο τῆς εἰςόδου πᾶν ὅσον ἐθνικὸν καὶ ἀλλόφυλον, τῶν τε αὖ ἐντὸς γινομένων οὐ μετῆν ἐκ τοῦ ἴσου πᾶσι τῆς ἐπὶ τὸ ἐνδότερον παρόδου, μή τινι καθαρωτέρα διαίτῃ καί τισι περιῤῥαντηρίοις ἀφαγνισθεῖσι· πάλιν δὲ καὶ ἐν αὐτοῖς τούτοις οὐ πᾶσι βάσιμος ἦν ὁ ἔνδον ναὸς, ἀλλ' ἢ τοῖς ἱερεῦσι μόνοις νόμιμον ἦν κατὰ χρείαν ἱερουργίας ἐντὸς τοῦ καταπετάσματος γίνεσθαι, τὸ δὲ ἀπόκρυφόν τε καὶ ἄδυτον τοῦ ναοῦ, ἐν ᾧ τὸ θυσιαςήριον ἵδρυτο κεράτων τισὶ προβολαῖς κεκαλλωπισμένον, καὶ αὐτοῖς τοῖς ἱερεῦσιν ἀνεπίβατον ἦν πλὴν ἑνὸς τοῦ προτεταγμένου τῆς ἱερωσύνης, ὃς ἅπαξ τοῦ ἐνιαυτοῦ κατά τινα νόμιμον ἡμέραν, μόνος ἀπορῤῥητοτέραν τινα καὶ μυςικωτέραν προςάγων ἱερουργίαν, ἐπὶ τὸ ἐντὸς παρεδύετο. Τοσαύτης οὖν οὔσης περὶ τὸν ναὸν τοῦτον διαφορᾶς, ἥτις εἰκών τε καὶ μίμημα τῆς νοητῆς ἦν καταςάσεως, τοῦτο τῆς σωματικῆς παρατηρήσεως διδασκούσης, ὅτι οὔτε πᾶσα ἡ λογικὴ φύσις τῷ ναῷ τοῦ θεοῦ, τοῦτ' ἔςι τῇ ὁμολογίᾳ τοῦ μεγάλου θεοῦ, προσεγγίζει, ἀλλ' οἱ πρὸς τὰς ψευδεῖς ὑπολήψεις πεπλανημένοι ἐκτός εἰσι τοῦ θείου περισχοινίσματος, τῶν δὲ διὰ τῆς ὁμολογίας ἐντὸς γεγενημένων προτιμότεροι τῶν ἄλλων οἱ περιῤῥαντηρίοις καὶ ἁγνείαις προκαθηράμενοι, καὶ τούτων οἱ ἀφιερωθέντες ἤδη τὸ πλέον ἔχουσιν, ὥςτε τῆς ἐσωτερικῆς ἀξιοῦσθαι μυςαγωγίας· ὡς δ' ἂν τις ἐπὶ τὸ φανερώτερον προάγοι

elementorum corporis instar condensata: vox enim condensationis ex sua emphasi amictum eiusque ornatum significat. Psalmodiae autem dictio sic habet: Deus dominus apparuit etiam nobis ad constituendum festum in condensis usque ad cornua altaris, quod quidem per aenigma praedicere mihi videtur, unum festum omni ratione praeditae creaturae constitui, inferioribus una cum eminentibus in bonorum coetu choros ducentibus: quoniam enim in figurata templi constructione non omnibus permissum erat intra externum ambitum esse, sed introitu arcebatur quicquid erat gentile et peregrinum: itemque eorum, qui erant intus, non ex aequo omnibus ad interiora dabatur aditus, nisi quadam puriore vivendi ratione et quibusdam adspersionibus essent expiati; rursusque etiam in his ipsis non omnibus ingredi licebat internum templum, sed solis sacerdotibus ius erat sacrificii causa intra velum versandi; occultus autem et inaccessus templi locus, in quo positum erat altare, cornuum quibusdam prominentiis exornatum, ne ab ipsis quidem sacerdotibus adiri poterat, praeter unum, qui praeerat sacerdotio; qui semel in anno, legitimo quodam die, solus reconditius quoddam magisque arcanum offerens sacrificium introibat. Tanta igitur quum sit circa hoc templum differentia, quae erat imago et similitudo status illius, qui mente percipitur, corporis observatione hoc dolente, quod neque universa natura rationis particeps templo dei, hoc est confessioni magni dei, appropinquat; sed qui falsis opinionibus reducti sunt, prohibentur a septis divinis: eorum autem, qui per confessionem intromissi fuerunt ceteris anteferuntur qui adspersionibus et castitate prius sunt expiati, et horum qui consecrati iam sunt, praecellunt, adeo ut etiam administratione interiorum sacrorum digni habeantur; sed ut aliquis magis in apertum proferat aenigmatis significationem, haec discere licet,

τὴν τοῦ αἰνίγματος ἔμφασιν, ταῦτα ἔξι μαθεῖν τοῦ λόγου διδάσκοντος, ὅτι τῶν λογικῶν δυνάμεων αἱ μέν τινές εἰσιν οἷον τὸ ἅγιον θυσιαστήριον ἐν τῷ ἀδύτῳ τῆς θεό-
C τητος καθιδρυμέναι, αἱ δέ τινες πάλιν καὶ τούτων ἐν ἐξοχῇ θεωροῦνται κεράτων δίκην προβεβλημέναι, καὶ ἄλλαι περὶ ἐκείνας κατά τινα τάξεως ἀκολουθίαν προτερεύουσί τε καὶ δευτερεύουσι. Τὸ δὲ τῶν ἀνθρώπων γένος διὰ τὴν ἐγγινομένην κακίαν ἔξω τῆς θείας περιβολῆς ἀπεώσθη, ὅπερ τῷ περιῤῥαντηρίῳ λουτρῷ καθηράμενον ἐντὸς γίνεται. Ἀλλ᾽ ἐπειδὴ μέλλει ποτὲ τὰ μέσα ταῦτα παραφράγματα λύεσθαι, δι᾽ ὧν ἡμᾶς ἡ κακία πρὸς τὰ
D ἐντὸς τοῦ καταπετάσματος ἀπετείχισεν, ὅταν σκηνοπηγηθῇ πάλιν διὰ τῆς ἀναςάσεως ἡμῶν ἡ φύσις, καὶ πᾶσα ἡ κατὰ κακίαν ἐγγενομένη διαφθορὰ ἐξαφανισθῇ τῶν ὄντων, τότε κοινὴ συςήσεται ἡ περὶ τὸν θεὸν ἑορτὴ τοῖς διὰ τῆς ἀναςάσεως πυκασθεῖσιν, ὡς μίαν τε καὶ τὴν αὐτὴν προκεῖσθαι πᾶσι τὴν εὐφροσύνην, μηκέτι διαφορᾶς τινὸς τῆς τῶν ἴσων μετουσίας τὴν λογικὴν φύσιν διατεμνούσης, ἀλλὰ τῶν νῦν ἔξω διὰ τὴν κακίαν ὄντων ἐντὸς τῶν ἀδύτων τῆς θείας μακαριότητος ποτὲ γενησομένων
246 καὶ τοῖς κέρασι τοῦ θυσιαστηρίου, τοῦτ᾽ ἔξι ταῖς ἐξεχού-
A σαις τῶν ὑπερκοσμίων δυνάμεσιν, ἑαυτοὺς συναπτόντων. Ὅπερ δὴ γυμνότερόν φησιν ὁ ἀπόςολος, τὴν τοῦ παντὸς πρὸς τὸ ἀγαθὸν συμφωνίαν διερμηνεύων, ὅτι αὐτῷ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων, καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς Χριςὸς εἰς δόξαν θεοῦ πατρός· ἀντὶ μὲν τῶν κεράτων λέγων τὸ ἀγγελικόν τε καὶ ἐπουράνιον, διὰ δὲ τῶν λοι-
B πῶν σημαίνων τὴν μετ᾽ ἐκείνους νοουμένην κτίσιν, ἡμᾶς, ὧν πάντων μία καὶ σύμφωνος ἑορτὴ κατακρατήσει. Ἑορτὴ δέ ἐςιν ἡ τοῦ ὄντως ὄντος ὁμολογία τε καὶ ἐπίγνωσις. Ἔξι δέ, φησίν, καὶ ἄλλα πολλὰ τῆς ἁγίας γραφῆς πρὸς σύγασιν τοῦ κατὰ τὴν ἀνάγασιν δόγματος ἀναλέξασθαι· ὅ τε γὰρ Ἰεζεκιὴλ, τῷ προφητικῷ πνεύματι τὸν ἐν τῷ μέσῳ πάντα χρόνον καὶ τὸ ἐν τούτῳ διάγημα ὑπερβὰς, ἐπ᾽ αὐτοῦ ἴγαται τοῦ καιροῦ τῆς ἀναγάσεως τῇ προ-

docente ratione, ex virtutibus ratione praeditis alias veluti sacrum altare in adyto deitatis esse collocatas, alias rursus ex his quoque in excellentia considerari, cornuum instar prominentes: alias circa illas quadam ordinis consequutione tum primas, tum secundas obtinere partes. Genus autem humanum propter innatum vitium eiectum fuit extra divinum ambitum, quod quidem adspersionis lavacro purgatum intromittitur. Sed quoniam intermedia haec septa aliquando solventur, quibus nos ab eo loco, qui est intra velum, vitium arcet, quando natura nostra per resurrectionem rursus quasi tabernaculum fixa, omnisque per vitium innata corruptio ex rerum natura sublata fuerit, tunc constitueretur commune festum, quod est circa deum, iis, qui per resurrectionem condensati fuerint, adeo ut una eademque omnibus proponatur laetitia, non amplius differentia quadam naturam ratione praeditam prohibente, quo minus bonorum aequalium particeps esse possit; sed iis, qui nunc propter vitium extra sunt, tandem aliquando intra adyta divinae beatitudinis futuris, et cornibus altaris, hoc est eminentibus supramundanorum virtutibus, se ipsos coniungentibus. Quod quidem apertius dicit apostolus, rerum universitatis cum bono consensum interpretans: Ei omne genu flectetur caelestium, terrestrium et inferorum, et omnis lingua confitebitur, dominum esse Jesum Christum in gloria dei patris: pro cornibus quidem dicens angelicum et caeleste; per reliqua autem significans eam, quae post illa intelligitur, creaturam, nos, quos omnes unum et consonum festum continebit. Est autem festum eius, qui revera est, confessio et cognitio. Possunt autem, inquit, alia quoque multa colligi ex literis sacris ad confirmandum resurrectionis dogma: nam Hiezeciel, prophetico spiritu omne, quod in medio est, tempus, quodque in eo est spatium transgressus, in ipso tempore resurrectionis praenoscendi facultate consistit, et futu-

γνωσικῇ δυνάμει, καὶ τὸ ἐσόμενον ὡς ἤδη παρὸν τεθεα-
C μένος ὑπ᾽ ὄψιν ἄγει τῷ διηγήματι· πεδίον γὰρ μέγα καὶ
εἰς ἄπειρον εἶδε διηπλώμενον, ὀσέων τε σωρείαν ἐπὶ
τούτου πολλὴν, ἄλλων ἀλλαχῇ πρὸς τὸ συμβὰν διερρι-
μμένων, εἶτα θείᾳ δυνάμει πρὸς τὰ συγγενῆ τε καὶ ἴδια
συγκινουμένων καὶ ταῖς οἰκείαις ἁρμονίαις ἐμφυομένων,
εἶτα νεύροις καὶ σαρξὶ καὶ δέρμασι καλυπτομένων, ὅπερ
ἡ ψαλμῳδία πυκαζομένων λέγει· καὶ πνεῦμα ζωοποιοῦν
τε καὶ διεγεῖρον ἅπαν τὸ κείμενον. Τὴν δὲ τοῦ ἀποσό-
λου τῶν κατὰ τὴν ἀνάςασιν θαυμάτων διασκευὴν, ὡς
D πρόχειρον οὖσαν τοῖς ἐντυγχάνουσιν τί ἄν τις λέγοι; ὅ-
πως ἐν κελεύσματί τινι καὶ σαλπίγγων ἠχῇ φησὶν ὁ λό-
γος ἐν ἀκαρεῖ τοῦ χρόνου ἅπαν ἀθρόως τὸ τεθνηκός τε
καὶ κείμενον εἰς ἀθανάτου φύσεως ὑπαμειφθήσεσθαι κα-
τάςασιν. Ἀλλὰ καὶ τὰς εὐαγγελικὰς φωνὰς, ὡς προδή-
λους ἅπασιν οὔσας, παρήσομεν· οὐ γὰρ μόνῳ λόγῳ φη-
σὶν ὁ κύριος τοὺς νεκροὺς ἀναςήσεσθαι, ἀλλὰ καὶ αὐτὴν
ἐνεργεῖ τὴν ἀνάςασιν, ἀπὸ τῶν ἐγγυτέρων ἡμῖν καὶ ἧτ-
τον ἀπιςεῖσθαι δυναμένων τῆς θαυματοποιΐας ἀρξάμενος.
247 Πρῶτον μὲν γὰρ ἐν τοῖς ἐπιθανατίοις τῶν νοσημάτων τὴν
A ζωοποιὸν δείκνυσι δύναμιν, ἀπελαύνων προστάγματι
καὶ λόγῳ τὰ πάθη· εἶτα ἀρτιθανὲς ἐγείρει παιδίον· εἶτα
νεανίαν τοῖς τάφοις ἤδη προσκομιζόμενον τῆς σοροῦ δια-
ναςήσας τῇ μητρὶ δίδωσι· μετὰ τοῦτο διαπεπτωκότα ἤδη
τετραημέρῳ χρόνῳ τὸν Λάζαρον νεκρὸν ἐξάγει ζῶντα τῶν
τάφων, φωνῇ τε καὶ προστάγματι ζωοποιήσας τὸν κείμε-
νον· εἶτα τὸν ἑαυτοῦ ἄνθρωπον ἥλοις καὶ λόγχῃ διαπε-
παρμένον ἐκ νεκρῶν διὰ τρίτης ἡμέρας διανίςησι, τοὺς
τύπους τῶν ἥλων καὶ τὴν πληγὴν τῆς λόγχης εἰς μαρτυ-
B ρίαν τῆς ἀναςάσεως ἐπαγόμενον. Περὶ ὧν οὐδὲν οἶμαι
χρῆναι διεξιέναι, μηδεμιᾶς ἀμφιβολίας ἐν τοῖς τὰ γε-
γραμμένα παραδεδεγμένοις ὑπούσης.

ΓΡΗΓ. Ἀλλ᾽ οὐ τοῦτο, εἶπον ἐγὼ, τὸ ζητούμενον
ἦν· τὸ γὰρ ἔσεσθαί ποτε τὴν ἀνάςασιν, καὶ τὸ ὑπαχθή-
σεσθαι τῇ ἀδεκάςῳ κρίσει τὸν ἄνθρωπον διά τε τῶν γρα-
φικῶν ἀποδείξεων καὶ τῶν ἤδη προεξητασμένων οἱ πολ-

rum quasi iam praesens conspicatus narratione ob oculos ponit: campum enim magnum et in immensum vidit patentem, ossiumque in eo magnum acervum, aliorum alibi fortuito casu disiectorum, deinde divina virtute ad cognata propriaque simul motorum, propriisque insitorum compagibus: deinde nervis, carnibus et pellibus opertorum, quod quidem psalmodia condensabantur dicit: et spiritum vivificantem et excitantem quidquid iacebat. Resurrectionis autem miraculorum, quae ab apostolo refertur, expositionem, ut quae in promptu sit legentibus quid dixeris? quemadmodum iussu quodam et tubarum sonitu literae sacrae prodiderunt momento temporis mortuos atque iacentes universos repente in immortalis naturae statum immutatum iri. Quin etiam evangelicas voces, ut quae cunctis manifestae sint, praetermittemus: non enim verbo solo dicit dominus mortuos resurrecturos, sed ipsam etiam efficit resurrectionem, ab iis, quae nobis propriora sunt, quibusque fides minus abrogari potest, huius mirifici operis initio facto. Nam primum quidem in lethiferis morbis vivificam ostendit virtutem, iussu et verbo affectiones abigens: deinde paulo ante mortuam puellam excitat: deinde adolescentem, qui ad sepulcra iam asferebatur, e loculo excitatum dat matri: postea diffluentem iam quatridui tempore Lazarum mortuum educit viventem e sepulcris, postquam et voce et iussu vivificavit iacentem: deinde suum ipsius hominem clavis et lancea transfixum a mortuis tertio die excitat, vestigia clavorum et plagam lanceae in testimonium ressurrectionis adducentem. De quibus nihil arbitror opus esse exponere, quum nulla subsit dubitatio inter eos, qui quae scripta sunt, approbarunt.

GREG. Verum non hoc erat, inquam ego, quod quaerebatur: nam futuram esse aliquando resurrectionem, et subiectum iri incorrupto iudicio hominem per literarum sacrarum probationes et ea, quae iam ante exquisita sunt, ple-

λοὶ τῶν ἀκουόντων συνθήσονται. Ὑπόλοιπον δ' ἂν εἴη
σκοπεῖν εἰ πρὸς τὸ νῦν ὂν καὶ τὸ ἐλπιζόμενον ἔσαι· ὅ-
C περ εἰ οὕτως εἴη, φευκτὴν εἶπον τοῖς ἀνθρώποις τὴν ἐλ-
πίδα τῆς ἀναςάσεως εἶναι· εἰ γὰρ, οἷα γίνεται λήγοντα
τοῦ ζῆν τὰ ἀνθρώπινα σώματα, τοιαῦτα τῇ ζωῇ πάλιν
ἀποκαθίςαται· ἆρά τις ἀτέλεςος συμφορὰ διὰ τῆς ἀνα-
ςάσεως τοῖς ἀνθρώποις ἐλπίζεται. Τί γὰρ ἂν ἐλεεινό-
τερον γένοιτο θέαμα, ἢ ὅταν ἐν ἐςχάτῳ γήρᾳ καταῤῥικνω-
θέντα τὰ σώματα μεταποιηθῇ πρὸς τὸ εἰδεχθές τε καὶ
ἄμορφον, τῆς μὲν ςαρκὸς αὐτοῖς ἀναλωθείςης τῷ χρόνῳ,
ῥυσοῦ δὲ τοῖς ὀςέοις περιεςκληκότος τοῦ δέρματος; Τῶν
D δὲ δὴ νεύρων συνεςπαςμένων διὰ τὸ μηκέτι τῇ φυσικῇ
ἰκμάδι ὑποπιαίνεςθαι, καὶ διὰ τοῦτο παντὸς συνελκομέ-
νου τοῦ σώματος ἄτοπόν τι καὶ ἐλεεινὸν θέαμα γίνεται,
τῆς μὲν κεφαλῆς ἐπὶ τὸ γόνυ συγκεκλιμένης, τῆς δὲ χει-
ρὸς ἔνθεν καὶ ἔνθεν πρὸς μὲν τὴν κατὰ φύςιν ἐνέργειαν
ἀπρακτούςης, ἐν τρόμῳ δὲ κατὰ τὸ ἀκούςιον ἀεὶ κραδαι-
νομένης. Οἷα δὲ πάλιν τῶν ταῖς χρονίαις νόςοις ἐκτετη-
κότων τὰ σώματα, ἃ τοςοῦτον διαφέρει τῶν γυμνωθέν-
των ὀςέων, ὅςον ἐπικεκαλύφθαι δοκεῖν λεπτῷ καὶ ἐκδε-
δαπανημένῳ ἤδη τῷ δέρματι· οἷα δὲ καὶ τῶν ἐν ταῖς
248 ὑδερικαῖς ἀῤῥωςίαις ἐξῳδηκότων, τῶν δὲ τῇ ἱερᾷ νόςῳ
A κεκρατημένων τὴν ἀςχήμονα λώβην τίς ἂν ὑπ' ὄψιν ἀγά-
γοι λόγος, ὡς κατ' ὀλίγον αὐτοῖς πάντα τὰ μέλη τὰ ὀρ-
γανικά τε καὶ αἰςθητήρια προϊοῦςα ἡ ςηπεδὼν ἐπιβόςκε-
ται; Τῶν δὲ ἐν ςειςμοῖς, ἢ πολέμοις, ἢ ἐξ ἑτέρας τι-
νὸς αἰτίας ἠκρωτηριαςμένων, καὶ πρὸ τοῦ θανάτου χρό-
νον τινὰ ἐν τῇ συμφορᾷ ταύτῃ ἐπιβιούντων, ἢ τῶν ἀπὸ
γενέςεως λώβῃ τινὶ ςυναποτελεςθέντων ἐν διαῤῥόφοις τοῖς
μέλεςι τί ἄν τις λέγοι; Περὶ δὲ τῶν ἀρτιγενῶν νηπίων,
B τῶν τε ἐκτιθεμένων καὶ τῶν καταπνιγομένων, καὶ τῶν
κατὰ τὸ αὐτόματον ἀπολλυμένων τί ἔςι λογίςαςθαι, εἰ
τὰ τοιαῦτα πάλιν πρὸς τὴν ζωὸν ἐπανάγοιτο, ἆρ' ἐναπο-
μενεῖ τῇ νηπιότητι; Καὶ τί ἀθλιώτερον; Ἀλλ' ἐπὶ τὸ
μέτρον ἥξει τῆς ἡλικίας; Καὶ ποίῳ γάλακτι πάλιν ἡ
φύςις αὐτὰ τιθηνήςεται; Ὥςτε εἰ μὲν διὰ πάντων ταὐ-

rique audientium assentientur. Reliquum autem fuerit considerare, an, prout est id, quod nunc est, ita etiam, quod speratur, futurum sit: quod quidem si ita fuerit, fugiendam dixerim hominibus spem resurrectionis esse (nam si qualia fiunt humana corpora, dum vivere desinunt, talia rursus vitae restituuntur): perpetua sane quaedam calamitas per resurrectionem hominibus speratur. Quod enim miserabilius fuerit spectaculum, quam quum in extrema senectute incurvata corpora ad turpitudinem deformitatemque transmutata fuerint, carne quidem eorum tempore consumpta, rugosa autem cute ossibus adhaerente? Nervis igitur convulsis, propterea quod naturali humore non amplius pinguefiant, ideoque toto corpore contracto indecorum atque miserandum fit spectaculum, capite quidem in genu inclinato, manu autem hinc atque hinc ad operam, quae naturae convenit, invalida, ac tremore invita semper micante. Qualia vero rursus corpora sunt eorum, qui diuturnis morbis extabuerunt, quae a nudatis ossibus hoc differunt, quod obtecta videntur esse tenui et consumpta iam pelle! qualia etiam eorum, qui hydrope intumuerunt, et eorum, qui morbo sacro correpti sunt, indecoram labem quaenam oculis subiecerit oratio, ut paulatim iis omnia membra, tam ea, quibus utimur instrumentis, quam quae sensuum officio funguntur, procedens depascatur? De iis autem, qui in terrae motibus vel bellis, vel ex alia quapiam causa mutilati sunt, et ante mortem aliquo tempore in hac calamitate adhuc vivunt, vel de iis, qui a nativitate adverso aliquo casu laesi, distortisque membris ad perfectam aetatem progressi sunt, quid dixeris? De modo natis autem infantibus, qui vel exponuntur, vel suffocantur, vel fortuito casu pereunt, quid est existimandum, si tales rursus reviviscant, num remanebunt in infantia? Et quid miserabilius? Sed ad perfectum aetatis modum pervenient? Et quali lacte rursus natura eos nutriet?

τὸν ἡμῖν τὸ σῶμα πάλιν ἀναβιώσεται, συμφορά ἐςι τὸ προσδοκώμενον· εἰ δὲ μὴ ταὐτὸν, ἄλλος τις ὁ ἐγειρόμε-
C νος ἔξαι παρὰ τὸν κείμενον· εἰ γὰρ πέπτωκε μὲν τὸ παιδίον, ἀνίσαται δὲ ὁ τέλειος, ἢ τὸ ἔμπαλιν, πῶς ἔςιν εἰπεῖν αὐτὸν ἀνορθῶσθαι τὸν κείμενον, ἐν τῇ τῆς ἡλικίας διαφορᾷ τοῦ πεπτωκότος ὑπηλλαγμένου ὄντος; ἀντὶ γὰρ τοῦ παιδίου τέλειον καὶ ἀντὶ τοῦ πρεσβυτέρου τὸν ἀκμαςήν τις ὁρῶν ἕτερον ἀνθ' ἑτέρου τεθέαται, καὶ ἀντὶ τοῦ λελωβημένου τὸν ἄρτιον καὶ ἀντὶ τοῦ ἐκτετηκότος τὸν εὔσαρκον, καὶ τὰ ἄλλα πάντα ὡςαύτως, ἵνα μὴ τὰ καθ' ἕκαςόν τις διεξιὼν ὄχλον ἐπεισάγῃ τῷ λόγῳ. Εἰ μὴ τοι-
D οῦτον ἀναβιῴη τὸ σῶμα πάλιν, οἷον ἦν, ὅτε τῇ γῇ κατεμίγνυτο, οὐ τὸ τεθνηκὸς ἀναςήσεται, ἀλλ' εἰς ἄλλον ἄνθρωπον ἡ γῆ πάλιν διαπλασθήσεται. Τί οὖν πρὸς ἐμὲ ἡ ἀνάςασις, εἰ ἀντ' ἐμοῦ τις ἄλλος ἀναβιώσεται; πῶς γὰρ ἂν ἐπιγνοίην αὐτὸς ἐμαυτὸν, βλέπων ἐν ἐμαυτῷ οὐκ ἐμαυτόν; οὐ γὰρ ἂν εἴην ἀληθῶς ἐγὼ, εἰ μὴ διὰ πάντων εἴην ὁ αὐτὸς ἐμαυτῷ· καθάπερ γὰρ κατὰ τὸν παρόντα βίον εἴ τινος ἔχοιμι διὰ μνήμης τὸν χαρακτῆρα· ὑποκείσθω δὲ κατὰ τὸν λόγον ψεδνὸς ὁ τοιοῦτος εἶναι, προχειλὴς, ὑπόσιμος, λευκόχρους, γλαυκόμματος, ἐν πολιᾷ τῇ
249 τριχὶ καὶ ῥυσῷ τῷ σώματι· εἶτα ζητῶν τὸν τοιοῦτον, ἐν-
A τύχοιμι νέῳ, κομήτῃ, γρυπῷ, μελανόχροϊ, καὶ τὰ λοιπὰ πάντα τοῦ κατὰ τὴν μορφὴν χαρακτῆρος ἑτέρως ἔχοντι· ἆρα τοῦτον ἰδὼν, ἐκεῖνον οἰήσομαι; Μᾶλλον δὲ τί χρὴ ταῖς ἐλάττοσι τῶν ἐνςάσεων ἐνδιατρίβειν, τῶν ἰσχυροτέρων ἀφέμενον; τίς γὰρ οὐκ οἶδεν ὅτι ῥοῇ τινὶ προςέοικεν ἡ ἀνθρωπίνη φύσις, ἀπὸ γενέσεως εἰς θάνατον ἀεὶ διά τινος κινήσεως προϊοῦσα, τότε τῆς κινήσεως λήγουσα, ὅταν καὶ τοῦ εἶναι παύσηται; Ἡ δὲ κίνησις αὕτη οὐ το-
B πική τίς ἐςι μετάςασις· οὐ γὰρ ἐκβαίνει ἑαυτὴν ἡ φύσις, ἀλλὰ δι' ἀλλοιώσεως ἔχει τὴν πρόοδον· ἡ δὲ ἀλλοίωσις, ἕως ἂν ᾖ τοῦτο ὃ λέγεται, οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ μένει· πῶς γὰρ ἂν ἐν ταὐτότητι φυλαχθείη τὸ ἀλλοιούμενον; ἀλλ' ὥσπερ τὸ ἐπὶ τῆς θρυαλλίδος πῦρ τῷ μὲν δοκεῖν ἀεὶ τὸ αὐτὸ φαίνεται· τὸ γὰρ συνεχὲς ἀεὶ τῆς κινή-

Itaque si quidem per omnia idem corpus rursus nobis reviviscet, calamitas est id, quod exspectatur; sin autem non idem, alius erit, qui suscitatur, quam qui iacebat mortuus: si enim occidit quidem puellus, surgit autem adultus, aut contra: quo pacto dici potest, ipsum surrexisse iacentem, quum in aetatis differentia is, qui occiderat, immutatus sit: pro infante enim adultum, et pro sene videns iuvenem, alterum adspexeris pro altero, pro mutilato integrum, pro macie confecto corpulentum, et alia omnia eodem modo, ne quis singula persequens molestiam inducat orationi. Nisi rursus tale corpus revixerit, quale erat, quando fuit terrae mixtum, non surget id, quod erat mortuum, sed terra rursus formabitur in alium hominem. Quid igitur ad me resurrectio, si pro me alius quis reviviscet? nam qua ratione ipse me agnoverim, videns in me ipso non me ipsum? non enim revera fuerim ego, nisi in omnibus fuerim idem, qui ego ipse: quemadmodum enim in hac vita, si habeam alicuius figuram in memoria: ponatur autem, verbi causa, is esse raro capillo, promissis labiis, nonnihil pressis naribus, albo colore, caesiis oculis, cano capite et rugoso corpore: deinde eum quaerens, incidam in iuvenem, comatum, aquilino naso, nigro colore et qui cetera omnia habet diversa ab ea, quam diximus, figura: numquid, si hunc videro, illum esse putabo? Immo vero quid opus est in minoribus immorari obiectionibus, validioribus omissis? quis enim nescit fluxui cuipiam similem esse humanam naturam, quae a nativitate ad mortem per motum quendam semper procedat, tunc a motu cessans, quando etiam esse desierit? Motus autem hic non est quidam per locum transitus (natura enim se ipsam non excedit), sed per mutationem habet progressum. Mutatio autem, quamdiu fuerit id, quod dicitur, nunquam in eodem manet (nam quo pacto in eo, quod sit idem, conservari potuerit id, quod immutatur?); sed quemadmodum ignis, qui est in lucerna, specie quidem semper videtur idem (continuus enim motus eum semper indivul-

σεως ἀδιάσπαστον αὐτὸ καὶ ἡνωνένον πρὸς ἑαυτὸ δείκνυσι· τῇ δὲ ἀληθείᾳ πάντοτε αὐτὸ ἑαυτὸ διαδεχόμενον, οὐδέποτε τὸ αὐτὸ μένει· ἡ γὰρ ἐξελκυσθεῖσα διὰ τῆς θερμό-
C τητος ἰκμὰς ὁμοῦ τε ἐξεφλογώθη καὶ εἰς λιγνὺν ἐκκαυθεῖσα μετεποιήθη, καὶ ἀεὶ τῇ ἀλλοιωτικῇ δυνάμει ἡ τῆς φλογὸς κίνησις ἐνεργεῖται, εἰς λιγνὺν δι' ἑαυτῆς ἀλλοιοῦσα τὸ ὑποκείμενον· ὥςπερ τοίνυν δὶς κατὰ ταὐτὸν τῆς φλογὸς θίγοντα οὐκ ἔςι τῆς αὐτῆς τὸ δὶς ἅψασθαι· τὸ γὰρ ὀξὺ τῆς ἀλλοιώσεως οὐκ ἀναμένει τὸν ἐκ δευτέρου πάλιν ἐπιθιγγάνοντα, κἂν ὡς τάχιςα τοῦτο ποιῇ· ἀλλ' ἀεὶ καινή τε καὶ πρόσφατός ἐςιν ἡ φλὸξ πάντοτε γεννωμένη, καὶ ἀεὶ ἑαυτὴν διαδεχομένη, καὶ οὐδέποτε ἐπὶ τοῦ
D αὐτοῦ μένουσα· τοιοῦτόν τι καὶ περὶ τὴν τοῦ σώματος ἡμῶν φύσιν ἐςι τὸ γὰρ ἐπίῤῥυτον τῆς φύσεως ἡμῶν καὶ τὸ ἀπόῤῥυτον διὰ τῆς ἀλλοιωτικῆς κινήσεως ἀεὶ πορευόμενόν τε καὶ κινούμενον τότε ἵςαται, ὅταν καὶ τῆς ζωῆς ἀπολήξῃ· ἕως δ' ἂν ἐν τῷ ζῆν ᾖ, ςάσιν οὐκ ἔχει· ἢ γὰρ πληροῦται, ἢ διαπνέεται, ἢ δι' ἑκατέρων πάντως εἰς ἀεὶ διεξάγεται. Εἰ τοίνυν οὐδὲ τῷ χθιζῷ τις ὁ αὐτός ἐςιν, ἀλλ' ἕτερος τῇ ὑπαλλαγῇ γίνεται, ὅταν ἐπαναγάγῃ πάλιν τὸ σῶμα ἡμῶν πρὸς τὴν ζωὴν ἡ ἀνάςασις, δῆμός τις
250 ἀνθρώπων πάντως ὁ εἷς γενήσεται, ὡς ἂν μηδὲν ἐλλεί-
A ποι τοῦ ἀνιςαμένου τὸ βρέφος, τὸ νήπιον, ὁ παῖς, τὸ μειράκιον, ὁ ἀνὴρ, ὁ πατὴρ, ὁ πρεσβύτης καὶ τὰ διὰ μέσου πάντα. Σωφροσύνης δὲ καὶ ἀκολασίας διὰ σαρκὸς ἐνεργουμένης, τῶν τε ὑπομενόντων ὑπὲρ τῆς εὐσεβείας τὰς ἀλγεινὰς τῶν κολάσεων, τῶν τε αὖ μαλακιζομένων πρὸς ταῦτα διὰ τῆς σωματικῆς αἰσθήσεως ἑκάτερον τούτων ἐπιδεικνυμένων, πῶς ἔςι παρὰ τὴν κρίσιν διασωθῆ-
B ναι τὸ δίκαιον; ἢ τοῦ αὐτοῦ νῦν μὲν πεπλημμεληκότος, αὖθις δὲ διὰ μεταμελείας ἑαυτὸν ἐκκαθάραντος, κἂν οὕτω τύχῃ, πάλιν ἐπὶ τὸ πλημμελὲς ὀλισθήσαντος, ὑπαμειφθέντος δὲ κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως καὶ τοῦ μεμολυσμένου καὶ τοῦ ἀμολύντου σώματος, καὶ μηθετέρου τούτων εἰς τὸ διηνεκὲς ἐξαρκέσαντος, ποῖον τῷ ἀκολάςῳ σῶμα συγκολασθήσεται; τὸ ῥικνωθὲν ἐν τῷ γήρᾳ πρὸς τῷ θανάτῳ; Ἀλλ' ἐ-

sum, sibique unitum ostendit); revera autem ipse se ipsum semper excipiens, nunquam idem manet (humor enim per calorem extractus simul et inflamatur et exustus in caliginem redigitur, et semper immutandi facultate motus flammae efficitur, in fuliginem per se immutans subiectum): quèmadmodum igitur, si quis in eodem loco bis flammam contingat, fieri non potest, ut eandem bis contingat (celeritas enim mutationis non exspectat eum, qui tangit iterum, etiam si hoc faciat quam citissime); sed flamma semper nova ac recens est, ut quae semper se ipsam excipiat, nec unquam in eodem maneat: tale quidpiam etiam naturae corporis nostri usu venit: nam quod naturae nostrae affluit atque effluit, per mutandi motum semper ambulans ac se movens, tunc sistitur, quum etiam vivere desierit; quamdiu autem in vita fuerit, statum non habet: aut enim impletur, aut difflatur, aut per utrumque omnino semper traducitur. Si ergo nec est quispiam idem, qui hesternus, sed alter mutatione evadit, quum resurrectio corpus nostrum rursus ad vitam reduxerit, qui est unus fiet omnino quidam hominum populus, ut eius, qui resurgit, nihil deficiat, foetus recens editus infans, puer, adolescens, vir, pater, senex, et omnia, quae intermedia sunt. Quum autem temperantia et incontinentia per carnem exerceatur, et qui pro pietate acerba supplicia sustinent, et qui prae animi mollitia haec refugiunt, per corporis sensum horum utrumque ostendant: qui fieri potest, ut in iudicio iustum servetur? aut quum idem nunc quidem peccaverit, rursus autem poenitentia se ipsum expurgaverit, ac fortasse rursus in peccatum delapsus fuerit: quum item ex naturae consequentia et pollutum et impollutum corpus immutatum fuerit, et neutrum horum in perpetuum suffecerit: quale corpus una cum intemperante punietur? idne, quod in senectute morti vicinum incurvatum fuerit? At hoc aliud erat, atque id, quod peccatum perpetravit. At id, quod perturbatione animi fuit in-

τερον ἦν τοῦτο παρὰ τὸ τὴν ἁμαρτίαν κατεργασάμενον. Ἀλλ᾽ ὅπερ κατεμολύνθη τῷ πάθει; Καὶ ποῦ ὁ πρεσβύ-
C της; Ἢ γὰρ οὐκ ἀναζήσεται οὗτος, καὶ οὐκ ἐνεργὸς ἡ ἀνάσασις, ἢ οὗτος ἐγερθήσεται, καὶ διαφεύξεται τὴν δίκην ὁ ὑποκείμενος. Εἶπω τι καὶ ἄλλο τῶν προφερομένων ἡμῖν παρὰ τῶν οὐ δεδεγμένων τὸν λόγον; Οὐδὲν, φησὶν, ἄπρακτον τῶν ἐν τῷ σώματι μορίων ἡ φύσις ἐποίησε· τὰ μὲν γὰρ τὴν τοῦ ζῆν αἰτίαν καὶ δύναμιν ἐν ἡμῖν ἔχει, ὧν ἄνευ συζῆναι τὴν διὰ σαρκὸς ζωὴν ἡμῶν οὐκ ἐνδέχεται, οἷον καρδία, ἧπαρ, ἐγκέφαλος, πνεύμων, γαστὴρ καὶ τὰ λοιπὰ σπλάγχνα· τὰ δὲ τῇ αἰσθητικῇ κινήσει ἀπο-
D κεκλήρωται· τὰ δὲ τῆς πρακτικῆς καὶ μεταβατικῆς ἐνεργείας ἐστὶν· ἄλλα δὲ πρὸς τὴν διαδοχὴν τῶν ἐπιγινομένων ἐπιτηδείως ἔχει. Εἰ μὲν οὖν ἐν τοῖς αὐτοῖς ἡμῖν ὁ μετὰ ταῦτα βίος ἔσαι, πρὸς οὐδὲν ἡ μετάσασις γίνεται· εἰ δὲ ἀληθὴς ὁ λόγος, ὥσπερ οὖν ἐστὶν ἀληθὴς, ὁ μήτε γάμον ἐμπολιτεύεσθαι τῷ μετὰ τὴν ἀνάσασιν βίῳ διοριζόμενος, μήτε διὰ βρώσεως καὶ πόσεως τὴν τότε διακρατεῖσθαι ζωήν· τίς ἔσαι χρῆσις τῶν μερῶν τοῦ σώματος, οὐκέτι τῶν δι᾽ ἃ νῦν ἔχει τὰ μέλη κατὰ τὴν ζωὴν ἐκείνην ἐλπι-
251 ζομένων; εἰ γὰρ τοῦ γάμου χάριν τὰ πρὸς τὸν γάμον
A ἐστὶν, ὅταν ἐκεῖνο μὴ ᾖ, οὐδὲν τῶν πρὸς ἐκεῖνο δεόμεθα. Οὕτω καὶ πρὸς τὸ ἔργον αἱ χεῖρες, καὶ πρὸς τὸν δρόμον οἱ πόδες, καὶ πρὸς τὴν παραδοχὴν τῶν σιτίων τὸ στόμα, καὶ οἱ ὀδόντες πρὸς τὴν τῆς τροφῆς ὑπηρεσίαν, καὶ πρὸς τὴν πέψιν τὰ σπλάγχνα, καὶ πρὸς τὴν ἀποβολὴν τῶν ἀχρειωθέντων οἱ διεξοδικοὶ τῶν πόρων. Ὅταν οὖν ἐκεῖνα μὴ ᾖ, τὰ δι᾽ ἐκεῖνα γενόμενα πῶς ἢ ὑπὲρ τίνος ἔσαι, ὡς
B ἀναγκὴν εἶναι, εἰ μὲν μὴ εἴη περὶ τὸ σῶμα τὰ πρὸς οὐδὲν τῶν πρὸς τὴν ζωὴν ἐκείνην συνεργεῖν μέλλοντα, μηδέν τι εἶναι τῶν νῦν συμπληρούντων ἡμῖν τὸ σῶμα; ἐν ἄλλοις γὰρ ἡ ζωὴ καὶ οὐκέτ᾽ ἄν τις τὸ τοιοῦτον ἀνάσασιν ὀνομάσειε, τῶν καθ᾽ ἕκαστον μελῶν διὰ τὴν ἐν ἐκείνῃ τῇ ζωῇ ἀχρησίαν οὐ συνανισαμένων τῷ σώματι. Εἰ δὲ διὰ πάντων ἔσαι τούτων ἐνεργὸς ἡ ἀνάσασις, μάταια ἡμῖν καὶ ἀνόνητα πρὸς τὴν ζωὴν ἐκείνην δημιουργήσει ὁ ἐνερ-

quinatum? Et ubi est senex? nam aut hic non resurget, neque resurrectio erit efficax: aut hic suscitabitur, et poenam effugiet, qui poenae est obnoxius. Dicamne etiam aliud eorum, quae obiiciuntur nobis ab iis, qui, quod de resurrectione dicitur, non probant? Nullam, inquiunt, corporis partium natura otiosam fecit: nam aliae vivendi causam et facultatem in nobis habent, sine quibus vita, quam in carne transigimus, constare non potest, ut cor, iecur, cerebrum, pulmo, venter et cetera viscera: aliae sentiendi motui sunt attributae: aliae agendi et transeundi officio funguntur: aliae ad successionem posterorum aptae sunt. Si igitur quae sequetur vita in iisdem erit, ad nullum usum immutatio fit; sin autem vera est oratio, ut certe vera est, quae neque matrimonium in ea vita, quae resurrectionem exceptura sit, amplius locum habere statuit, neque cibo ac potione eam vitam, quae tunc futura sit, conservari: quis erit usus partium corporis, quum ea, propter quae nunc sunt membra, in vita illa non amplius sperentur? nam si matrimonii causa sunt, quae ad matrimonium pertinent, quum illud non fuerit, nihil opus habemus iis, quae ad illud pertinent. Sic ad opus manus, ad cursum pedes, ad cibum suscipiendum os, dentes ad alimenti ministerium, ad concoctionem viscera, ad electionem eorum, quae inutilia sunt facta, meatus excernentes. Quum igitur illa non fuerint, ea, quae propter illa facta sunt, quomodo, cuiusve gratia erunt, adeo ut necesse sit, si quidem circa corpus non fuerint ea, quae nihil adiumenti iis, quae ad vitam illam pertinent, allatura sint, nihil esse eorum, quae corpus nostrum nunc complent (in aliis enim vita est)? idque non amplius resurrectionem aliquis nominaverit, quum singula membra, propterea quod in illa vita nulli sint usui, non una cum corpore resurgant. Sin autem per haec omnia efficax erit resurrectio, vana nobis et inutilia ad vitam illam procreabit qui efficit resurrectio-

γῶν τὴν ἀνάσασιν. Ἀλλὰ μὴν καὶ εἶναι πιστεύειν χρὴ τὴν
C ἀνάστασιν, καὶ μὴ ματαίαν εἶναι. Οὐκοῦν προσεκτέον τῷ
λόγῳ, ὅπως ἂν ἡμῖν διὰ πάντων ἐν τῷ δόγματι τὸ εἰκὸς
διασώζοιτο.

ΜΑΚΡ. Ἐμοῦ δὲ ταῦτα διεξελθόντος· Οὐκ ἀγεννῶς,
φησὶν ἡ διδάσκαλος, κατὰ τὴν λεγομένην ῥητορικὴν τῶν
τῆς ἀναστάσεως δογμάτων κατεπεχείρησας, πιθανῶς τοῖς
ἀνασκευαστικοῖς τῶν λόγων ἐν κύκλῳ περιδραμὼν τὴν ἀλή-
θειαν, ὥστε τοὺς μὴ λίαν ἐπεσκεμμένους τὸ τῆς ἀλη-
θείας μυστήριον παθεῖν ἄν τι κατὰ τὸ εἰκὸς πρὸς τὸν
D λόγον, καὶ οἰηθῆναι μὴ ἔξω τοῦ δέοντος ἐπῆχθαι τοῖς
εἰρημένοις τὴν ἐπαπόρησιν. Ἔχει δὲ οὐχ οὕτω, φησὶν, ἡ
ἀλήθεια, κἂν ἀδυνατῶς ἔχωμεν ἐκ τῶν ὁμοίων ἀντιρητο-
ρεύειν τῷ λόγῳ, ἀλλ' ὁ μὲν ἀληθὴς περὶ τούτων λόγος
ἐν τοῖς ἀποκρύφοις τῆς σοφίας θησαυροῖς τεταμίευται,
τότε εἰς τὸ ἐμφανὲς ἥξων, ὅταν ἔργῳ τὸ τῆς ἀναστάσεως
διδαχθῶμεν μυστήριον, ὅτε οὐκέτι δεήσει ῥημάτων ἡμῖν
252 πρὸς τὴν τῶν ἐλπιζομένων φανέρωσιν. Ἀλλ' ὥσπερ ἐν
A νυκτὶ πολλῶν κινουμένων τοῖς διαγρυπνοῦσι λόγων περὶ
τῆς τοῦ ἡλίου λαμπηδόνος, οἷα ἐστὶν, ἀρχὴν ποιεῖ τὴν
τοῦ λόγου ὑπογραφὴν προφανεῖσα μόνον τῆς ἀκτῖνος ἡ
χάρις, οὕτω πάντα λογισμὸν σοχαστικῶς τῆς μελλούσης
καταστάσεως ἐφαπτόμενον ἀντ' οὐδενὸς ἀποδείκνυσιν, ὅταν
γένηται ἡμῖν ἐν τῇ πείρᾳ τὸ προσδοκώμενον. Ἐπεὶ δὲ
χρὴ μὴ παντάπασιν ἀνεξετάστους ἐαθῆναι τὰς ἀνθυπενε-
B χθείσας ἡμῖν ἐνστάσεις, οὕτωσὶ τὸν περὶ τούτων λόγον δια-
ληψόμεθα. Νοῆσαι χρὴ πρῶτον τίς ὁ σκοπὸς τοῦ κατὰ
τὴν ἀνάστασιν δόγματος, καὶ ὅτου χάριν καὶ εἴρηται τοῦτο
παρὰ τῆς ἁγίας φωνῆς καὶ πεπίστευται. Οὐκοῦν ὡς ἄν
τις ὅρῳ τινὶ τὸ τοιοῦτο περιλαβὼν ὑπογράψειεν, οὕτως
ἐροῦμεν, ὅτι ἀνάστασίς ἐστιν ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως
ἡμῶν ἀποκατάστασις. Ἀλλ' ἐν τῇ πρώτῃ ζωῇ, ἧς αὐτὸς
γέγονε δημιουργὸς ὁ θεὸς, οὔτε γῆρας ἦν, ὡς εἰκὸς, οὔτε
C νηπιότης, οὔτε τὰ κατὰ τὰς πολυτρόπους ἀῤῥωστίας πά-
θη, οὔτε τι ἄλλο τῆς σωματικῆς ταλαιπωρίας οὐδέν·
οὔτε γὰρ εἰκὸς ἦν τοιαῦτα δημιουργεῖν τὸν θεόν· ἀλλὰ

nem. Atqui et esse resurrectionem, et non vanam eam esse credere oportet. Attendendum igitur est orationi, ut per omnia nobis in dogmate id, quod consentaneum sit, conservetur.

MACR. His a me expositis: Haud ignave, inquit magistra, per eam artem, quae dicitur oratoria, resurrectionis dogmata aggressus, probabiliter argumentis, quae refutationi inserviunt, undique veritatem circumeundo tentasti, adeo ut qui veritatis mysterium non admodum consideraverint, oratione, ut verisimile est, nonnihil moveantur, atque putent, non secus, quam par sit, iis, quae dicta sunt, dubitationem esse illatam. Veritas autem, inquit, non ita se habet, etiamsi non possimus ex similibus in oratione contra rhetorico uti artificio, sed vera quidem ratio harum rerum in occultis sapientiae thesauris est recondita, tunc in apertum proditura, quum re ipsa didicerimus resurrectionis mysterium, quando non amplius verbis opus erit nobis ad ea, quae sperantur, declaranda. Sed quemadmodum, quum noctu vigilantibus multae moventur quaestiones de solis splendore, qualis sit, inanem facit sermonis descriptionem apparens duntaxat radii nitor: ita omnem cogitationem, quae futurum statum coniectura attingit, pro nihilo ostendet, quum, quod exspectatur, re ipsa experti fuerimus. Quoniam autem oportet non omnino inexaminata relinquere ex adverso obiecta nobis argumenta, sic de iis exponemus. Intelligere primum oportet, quo spectet resurrectionis dogma, et qua de causa hoc a sancta illa voce et dictum et creditum sit. Ergo ut aliquis definitione quadam tale comprehenderit atque descripserit, ita dicemus: Resurrectio est naturae nostrae in pristinum statum restitutio. At in prima vita, cuius deus ipse creator fuit, neque senectus erat, ut verisimile est, neque infantia, neque variarum infirmitatum affectiones, neque ulla alia corporis miseria (neque enim verisimile est, deum eiusmodi res creare): sed

θεῖόν τι χρῆμα ἦν ἡ ἀνθρωπίνη φύσις, πρὶν ἐν ὁρμῇ γενέσθαι τοῦ κακοῦ τὸ ἀνθρώπινον. Ταῦτα δὲ πάντα τῇ εἰσόδῳ τῆς κακίας ἡμῖν συνεισέβαλεν. Οὐκοῦν οὐδεμίαν ἀνάγκην ἕξει ὁ ἄνευ κακίας βίος ἐν τοῖς διὰ ταύτην συμβεβηκόσιν εἶναι. Ὥσπερ γὰρ ἐπακολουθεῖ τῷ διὰ κρυμῶν ὁδοιποροῦντι τὸ ψύχεσθαι τὸ σῶμα, ἢ τῷ διὰ θερ-
D μῆς ἀκτῖνος πορευομένῳ τὸ μελαίνεσθαι τὴν ἐπιφάνειαν· εἰ δὲ ἐκτὸς ἑκατέρου γένοιτο τούτων, συναπηλλάγη πάντως καὶ τοῦ μελασμοῦ καὶ τῆς ψύξεως, καὶ οὐκ ἄν τις εὐλόγως ἐπιζητοίη τὸ ἔκ τινος αἰτίας συμβαῖνον, τῆς αἰτίας οὐκ οὔσης· οὕτως ἡ φύσις ἡμῶν ἐμπαθὴς γενομένη τοῖς ἀναγκαίως ἐπακολουθοῦσι τῇ παθητικῇ ζωῇ συνηνέχθη· πρὸς δὲ τὴν ἀπαθῆ μακαριότητα πάλιν ἀναδραμοῦσα, οὐκέτι τοῖς ἐπακολουθήμασι τῆς κακίας συνενε-
253 χθήσεται. Ἐπεὶ οὖν ὅσα ἐκ τῆς ἀλόγου ζωῆς τῇ ἀνθρω-
A πίνῃ κατεμίχθη φύσει, οὐ πρότερον ἦν ἐν ἡμῖν, πρὶν εἰς πάθος διὰ κακίας πεσεῖν τὸ ἀνθρώπινον, ἀναγκαίως καταλιπόντες τὸ πάθος, καὶ πάντα ὅσα μετ' αὐτοῦ καθορᾶται, συγκαταλείψομεν. Ὥστε οὐκ ἄν τις εὐλόγως ἐν τῷ βίῳ ἐκείνῳ τὰ ἐκ τοῦ πάθους ἡμῖν ἐπισυμβεβηκότα ζητήσειεν. Ὡς γὰρ εἴ τις ῥωγαλέον περὶ ἑαυτὸν ἔχων χι-
B τῶνα γυμνωθείη τοῦ περιβλήματος, οὐκέτ' ἂν τὴν τοῦ ἀποῤῥιφέντος ἀσχημοσύνην ἐφ' ἑαυτοῦ βλέποι, οὕτως καὶ ἡμῶν ἀποδυσαμένων τὸν νεκρὸν ἐκεῖνον καὶ εἰδεχθῆ χιτῶνα τὸν ἐκ τῶν ἀλόγων δερμάτων ἡμῖν ἐπιβληθέντα· δέρμα δὲ ἀκούων, τὸ σχῆμα τῆς ἀλόγου φύσεως νοεῖν μοι δοκῶ, ὃ πρὸς τὸ πάθος οἰκειωθέντες περιεβλήθημεν· πάντα ὅσα τοῦ ἀλόγου δέρματος περὶ ἡμᾶς ἦν, ἐν τῇ ἀπεκδύσει τοῦ χιτῶνος συναποβαλλόμεθα. Ἔστι δὲ ἃ προσελάβομεν ἀπὸ τοῦ ἀλόγου δέρματος, ἡ μίξις, ἡ σύλληψις,
C ὁ τόκος, ὁ ῥύπος, ἡ θηλή, ἡ τροφή, ἡ ἐκποίησις, ἡ κατ' ὀλίγον ἐπὶ τὸ τέλειον αὔξησις, ἡ ἀκμή, τὸ γῆρας, ἡ νόσος, ὁ θάνατος. Εἰ οὖν ἐκεῖνο περὶ ἡμᾶς οὐκ ἔσαι, πῶς ἡμῖν τὰ ἐξ ἐκείνου ὑπολειφθήσεται; Ὥστε μάταιον, ἄλλης τινὸς καταστάσεως κατὰ τὴν μέλλουσαν ζωὴν ἐλπιζομένης, διὰ τῶν μηδὲν αὐτῇ κοινωνούντων ἐνίσασθαι

divina quaedam res erat humana natura, priusquam impetus hominem ad malum incitasset. Haec autem omnia simul cum ingressu mali in nos irruerunt. Ergo vita, quae expers est vitii, nequaquam necesse habebit in iis versari, quae propter ipsum evenerunt. Quemadmodum enim per gelu iter facienti accidit, ut corpus eius frigore laboret, aut per calidum radium incedenti, ut facies eius nigrescat: sin autem extra horum utrumque fuerit, liberatur omnino a nigrore et refrigeratione, nec iure requisierit quispiam quod ex aliqua causa contingit, causa non exstante: ita natura nostra affectibus obnoxia facta iis, quae necessario sequuntur patibilem vitam, conflictatur; ad beatitudinem autem perturbationibus vacuam iterum recurrens, non amplius iis, quae sequuntur vitium, conflictabitur. Quoniam igitur quaecunque ex vita rationis experte humanae naturae admixta sunt, non prius in nobis fuerunt, quam in perturbationes per vitium cecidisset genus humanum, necessario relictis perturbationibus, etiam omnia, quaecunque cum iis cernuntur, simul relinquemus. Quamobrem non iure quispiam in vita illa quaesierit ea, quae ex affectione nobis posterius acciderunt. Quemadmodum enim si quis lacera circumdatus tunica eo indumento se exuerit, non amplius eius, quod fuit abiectum, turpitudinem in se videbit: ita etiam, quum nos exuerimus mortuam illam atque deformem tunicam, ex pellibus rationis expertibus nobis iniectam (pellem autem audiens habitum ratione carentis naturae intelligere mihi videor, quem, cum perturbatione consociati, induti sumus): omnia, quaecunque ratione carentis pellis circa nos erant, ut tunica nos exuimus, simul abiicimus. Sunt autem, quae assumpsimus a pelle rationis experte, coitus, conceptio, partus, sordes, mamma, alimentum, egestio, quod fit paulatim ad perfectum incrementum, vigor aetatis, senectus, morbus, mors. Si igitur illa circa nos non erit, quomodo nobis, quae ex illa exstiterunt, relinquentur? Itaque frustra est, quum alius quidam status in futura vita speretur, per ea, quae

πρὸς τὸ δόγμα τῆς ἀναςάσεως. Τί γὰρ κοινὸν ἔχει ῥικνότης καὶ πολυσαρκία, καὶ τηκεδὼν καὶ πληθώρα, καὶ εἴ τι ἄλλο τῇ ῥευςῇ φύσει τῶν σωμάτων ἐπισυμβαίνει πρὸς τὴν ζωὴν ἐκείνην, ἢ τῆς ῥοώδους τε καὶ παροδικῆς
D τοῦ βίου διαγωγῆς ἠλλοτρίωται; Ἓν ζητεῖ μόνον ὁ τῆς ἀναςάσεως λόγος, τὸ φυῆναι διὰ γεννήσεως ἄνθρωπον· μᾶλλον δὲ, καθώς φησι τὸ εὐαγγέλιον, εἰ ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον, τὸ δὲ μακρόβιον ἢ ὠκύμορον, ἢ τὸν τοῦ θανάτου τρόπον, εἰ τοιῶςδε ἢ ἑτέρως συμβέβηκε, μάταιον τῷ τῆς ἀναςάσεως λόγῳ συνεξετάζειν. Ὅπως γὰρ ἂν τοῦτο δῶμεν καθ' ὑπόθεσιν ἔχειν, ἐν τῷ
254 ὁμοίῳ πάντως ἐςὶν, οὔτε δυςκολίας, οὔτε ῥᾳςώνης ἐκ τῆς
A τοιαύτης διαφορᾶς περὶ τὴν ἀνάςασιν οὔσης· τὸν γὰρ τοῦ ζῆν ἀρξάμενον ζῆσαι χρὴ πάντως, τῆς ἐν τῷ μέσῳ διὰ τοῦ θανάτου συμβάσης αὐτῷ διαλύσεως ἐν τῇ ἀναςάσει διορθωθείσης. Τὸ δὲ ὅπως ἢ πότε ἡ διάλυσις γίνεται, τί τοῦτο πρὸς τὴν ἀνάςασιν; πρὸς ἕτερον γὰρ σκοπὸν βλέπει ἡ περὶ τούτου σκέψις· οἷον καθ' ἡδονήν τις ἐβίω, ἢ ἀνιώμενος, κατ' ἀρετὴν ἢ κακίαν, ἐπαινετὸς
B ἢ ὑπαίτιος, ἐλεεινὸς ἢ μακάριος παρῆλθε τὸν χρόνον. Ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα ἐκ τοῦ μέτρου τῆς ζωῆς καὶ ἐκ τοῦ εἴδους τοῦ κατὰ τὸν βίον εὑρίσκεται· καὶ ὡς πρὸς τὴν κρίσιν τῶν βεβιωμένων ἀναγκαῖον ἂν εἴη τῷ κριτῇ πάθος, καὶ λώβην, καὶ νόσον, καὶ γῆρας, καὶ ἀκμὴν, καὶ νεότητα, καὶ πλοῦτον καὶ πενίαν διερευνᾶσθαι, ὅπως τις δι' ἑκάςου τούτων γενόμενος ἢ εὖ, ἢ κακῶς τὸν συγκληρωθέντα βίον παρέδραμε, καὶ ἢ πολλῶν ἐγένετο δεκτικὸς ἀγαθῶν, ἢ κακῶν ἐν μακρῷ τῷ χρόνῳ, ἢ οὐδὲ τὴν ἀρχὴν ὅλως ἑκατέρου τούτων ἐφήψατο, ἐν
C ἀτελεῖ τῇ διανοίᾳ τοῦ ζῆν παυσάμενος; Ὅταν δὲ πρὸς τὴν πρώτην τοῦ ἀνθρώπου κατασκευὴν δι' ἀναςάσεως ὁ θεὸς ἐπαναγάγῃ τὴν φύσιν, ἀργὸν ἂν εἴη τὰ τοιαῦτα λέγειν, καὶ τὸ διὰ τῶν τοιούτων ἐνςάσεων οἴεσθαι τὴν δύναμιν τοῦ θεοῦ πρὸς τὸν σκοπὸν ἐμποδίζεσθαι. Σκοπὸς δὲ αὐτῷ εἷς τὸ τελειωθέντος ἤδη διὰ τῶν καθ' ἕκαςον ἀνθρώπων παντὸς τοῦ τῆς φύσεως ἡμῶν πληρώματος,

cum illa nihil commune habent, dogmati resurrectionis instare. Quid enim commune habet curvitas et corpulentia, tabes et humorum abundantia, et si quid aliud fluxae corporum naturae accidit, cum vita illa, quae a fluxo celeriterque transeunte vitae cursu aliena est? Unum duntaxat ratio resurrectionis quaerit, ut natus per generationem sit homo, vel potius, ut dicit evangelium, an generatus sit homo in mundo: longaene autem, an brevis fuerit vitae, hocne, an illo mortis genere ei mori contigerit, frustra est una cum ratione resurrectionis exquirere. Quomodocunque enim hoc se habere dederimus per hypothesin, in idem omnino res redit, quum neque difficultas, neque facilitas ex tali differentia circa resurrectionem sit: nam qui vivere coeperit, eum vivere omnino oportet, quum ea, quae ipsi per mortem intercesserit, dissolutio in resurrectione corrigatur. Quomodo autem aut quando dissolutio fiat, quid hoc ad resurrectionem? ad aliud enim propositum spectat huius rei consideratio: velut in voluptate aliquis vixit, vel in dolore, secundum virtutem vel vitium, cum laude vel in culpa, miserabiliter vel beate tempus transegit. Haec enim omnia et quae huiusmodi sunt, ex modo et ex genere vitae inveniuntur: et sic ad iudicium de acta vita ferendum necesse fuerit iudici affectionem, detrimentum, morbum, senium, aetatis vigorem, iuventutem, divitias, paupertatem perscrutari, quo pacto quis per horum unumquodque versatus bene, an male vitae, quam simul sortitus erat, cursum confecerit: et multorumne fuerit capax bonorum vel malorum longo tempore, an ne ab initio quidem horum utrumque attigerit, ut qui ingenio nondum perfecto vivere desierit? Quum autem ad primam hominis constitutionem deus per resurrectionem naturam reduxerit: vanum fuerit haec dicere, et per has obiectiones arbitrari dei potentiam a proposito impediri. Propositum autem ei hoc unum est, ut absoluta iam per singulos homines universa

τῶν μὲν εὐθὺς ἤδη κατὰ τὸν βίον τοῦτον ἀπὸ κακίας κε-
D καθαρμένων, τῶν δὲ μετὰ ταῦτα διὰ τοῦ πυρὸς τοῖς κα-
θήκουσι χρόνοις ἰατρευθέντων, τῶν δὲ ἐπ᾽ ἴσης καὶ τοῦ
καλοῦ καὶ τοῦ κακοῦ τὴν πεῖραν παρὰ τὸν τῇδε βίον ἀ-
γνοησάντων, πᾶσι προθεῖναι τὴν μετουσίαν τῶν ἐν αὐτῷ
καλῶν, ἅπερ φησὶν ἡ γραφὴ μήτε ὀφθαλμὸν ἰδεῖν, μήτε
ἀκοὴν δέξασθαι, μήτε λογισμοῖς ἐφικτὰ γενέσθαι. Τοῦ-
το δὲ οὐδὲν ἄλλο ἐστὶ, κατά γε τὸν ἐμὸν λόγον, ἢ τὸ ἐν
αὐτῷ τῷ θεῷ γενέσθαι· τὸ γὰρ ἀγαθὸν τὸ ὑπὲρ ἀκοὴν,
255 καὶ ὀφθαλμὸν, καὶ καρδίαν αὐτὸ ἂν εἴη τὸ τοῦ παντὸς
A ὑπερκείμενον. Ἡ δὲ τοῦ κατ᾽ ἀρετὴν ἢ κακίαν βίου δια-
φορὰ ἐν τῷ μετὰ ταῦτα κατὰ τοῦτο δειχθήσεται μάλιστα,
ἐν τῷ θᾶττον ἢ σχολαιότερον μετασχεῖν τῆς ἐλπιζομένης
μακαριότητος· τῷ γὰρ μέτρῳ τῆς ἐγγενομένης ἑκάστῳ κα-
κίας ἀναλογήσει πάντως καὶ ἡ τῆς ἰατρείας παράτασις.
Ἰατρεία δ᾽ ἂν εἴη ψυχῆς τὸ τῆς κακίας καθάρσιον. Τοῦ-
το δὲ ἄνευ ἀλγεινῆς διαθέσεως κατορθωθῆναι οὐχ οἷόν
B τε, καθὼς ἐν τοῖς προλαβοῦσιν ἐξήταται. Μᾶλλον δ᾽ ἄν
τις ἐπιγνοίη τῶν ἐνστάσεων τὸ περιττὸν καὶ ἀνοίκειον, εἰς
τὸ βάθος τῆς ἀποστολικῆς διακύψας σοφίας· τοῖς γὰρ
Κορινθίοις τὸ περὶ τούτων σαφηνίζων μυστήριον, τάχα τὰ
αὐτὰ προτεινόντων αὐτῷ κἀκείνων, ἃ παρὰ τῶν νῦν κα-
τεπιχειρούντων τοῦ δόγματος ἐπὶ ἀνατροπῇ τῶν πεπιστευ-
μένων προφέρεται, τῷ ἰδίῳ ἀξιώματι τὸ τῆς ἀμαθίας
αὐτῶν ἐπικόπτων θράσος, οὕτωσὶ λέγει· Ἐρεῖς οὖν μοι·
Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται;
Ἄφρον, φησὶ, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ
C ἀποθάνῃ· καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον
σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου ἢ ἄλλου
τινὸς τῶν σπερμάτων. Ὁ δὲ θεὸς δίδωσιν αὐτῷ σῶμα,
καθὼς ἠθέλησεν. Ἐνταῦθα γὰρ ἐπιζομίζειν μοι δοκεῖ
τοὺς ἀγνοοῦντας τὰ οἰκεῖα μέτρα τῆς φύσεως, καὶ πρὸς
τὴν ἑαυτῶν ἰσχὺν τὴν θείαν ἀντεξετάζοντας δύναμιν, καὶ
οἰομένους τοσοῦτον εἶναι τῷ θεῷ δυνατὸν, ὅσον χωρεῖ
καὶ ἡ ἀνθρωπίνη κατάληψις· τὸ δὲ ὑπὲρ ἡμᾶς ὂν καὶ
D τοῦ θεοῦ παριέναι τὴν δύναμιν· ὁ γὰρ ἐρωτήσας τὸν

naturae nostrae plenitudine, quum alii quidem iam statim in hac vita a malo expiati, alii vero posthac per ignem convenientibus temporibus curati fuerint, alii autem ex aequo boni malique experientiam in hac vita non habuerint, omnibus proponat communem usum bonorum, quae in ipso sunt, quae quidem neque oculum vidisse, neque aurem audivisse, neque cogitatione quemquam assequi posse literis sacris proditum est. Hoc autem nihil est aliud, mea quidem sententia, quam in ipso deo esse: bonum enim, quod aurem, quod oculum, quod cor superat, ipsum est, quod universo superius. Eius autem, quae vel cum virtute vel cum nequitia transigitur, vitae differentia posthac ostendetur maxime eo, quod citius aut tardius quis beatitudinis, quae speratur, particeps fiet: nam modo vitii cuique insiti respondebit omnino etiam medicinae productio. Animae autem medicina fuerit vitii purgatio. Haec vero sine acerba affectione perfici non potest, ut in superioribus est demonstratum. Immo vero quam sint superflua atque inepta quae obiiciuntur argumenta, intelliget, si quis in profundum apostolicae sapientiae prospexerit: nam quod ad haec pertinet mysterium Corinthiis declarans, quum fortasse et illi eadem ipsi obiicerent, quae proferuntur ab iis, qui nunc hanc doctrinam oppugnant, ad evertenda ea, quae creduntur, sua auctoritate illorum inscitiae reprimens audaciam, ita dicit: Dices ergo mihi: Quomodo resurgunt mortui? et quali corpore veniunt? Stulte, inquit, tu quod seminas, non vivificatur, nisi mortuum fuerit: et quod seminas, non corpus, quod futurum est, seminas, sed nudum granum, si forte, tritici, aut alius alicuius seminum. Deus autem dat ei corpus, sicut vult. Hic enim mihi videtur obstruere iis, qui ignorant convenientem naturae modum, suisque viribus contra metiuntur divinam potentiam, atque existimant deum tantum posse, quantum capiat etiam humana comprehensio; quod autem supra nos sit, dei quoque superare po-

ἀπόςολον τὸ πῶς ἐγείρονται οἱ νεκροὶ; ὡς ἀμήχανον
ὂν τὸ ἐσκεδασμένον τῶν τοῦ σώματος ςοιχείων εἰς συν-
δρομὴν πάλιν ἐλθεῖν ἀποφαίνεται· καὶ ὡς τούτου μὴ
δυναμένου, ἄλλου δὲ σώματος παρὰ τὴν συνδρομὴν τῶν
ςοιχείων οὐχ ὑπολειπομένου, τοῦτό φησι κατὰ τοὺς δει-
νοὺς τῶν διαλεγομένων, συμπεράνας διά τινος ἀκολου-
θίας ἅπερ ὑπέθετο· Εἰ σῶμά ἐςι συνδρομὴ ςοιχείων,
256 τούτων δὲ ἀμήχανος ἐκ δευτέρου ἡ συνόδος, ποίῳ χρή-
A σονται σώματι οἱ ἀνιςάμενοι; Τοῦτο τοίνυν τὸ δο-
κοῦν διά τινος τεχνικῆς ςοφίας αὐτοῖς συμπεπλέχθαι
ἀφροσύνην ὠνόμασε τῶν μὴ κατιδόντων ἐν τῇ λοιπῇ
κτίσει τὸ ὑπερέχον τῆς θείας δυνάμεως· καταλιπὼν γὰρ
τὰ ὑψηλότερα τῶν τοῦ θεοῦ θαυμάτων, δι' ἃ ἦν εἰς
ἀπορίαν ἀγαπεῖν τὸν ἀκούοντα, οἷον τί τὸ οὐράνιον
σῶμα, καὶ πόθεν; τί δὲ τὸ ἡλιακὸν ἢ τὸ σεληναῖον;
ἢ τὸ ἐν τοῖς ἄςροις φαινόμενον; ὁ αἰθήρ; ὁ ἀήρ; τὸ
ὕδωρ; ἡ γῆ; ἐκ τῶν συντρόφων ἡμῖν καὶ κοινοτέρων ἐλέγ-
B χει τῶν ἐνιςαμένων τὸ ἀνεπίσκεπτον. Οὐδὲ ἡ γεωρ-
γία σε διδάσκει, φησὶν, ὅτι μάταιός ἐςιν ὁ πρὸς τὸ ἑαυ-
τοῦ μέτρον τῆς θείας δυνάμεως ςοχαζόμενος τὸ ὑπερέ-
χον; πόθεν τοῖς σπέρμασι τὰ περιφυόμενα σώματα; τί
δὲ καθηγεῖται τῆς βλάςης αὐτῶν; οὐχὶ θάνατος, εἴπερ
θάνατός ἐςιν ἡ τοῦ συνεχομένου διάλυσις; τὸ γὰρ σπέρ-
μα οὐκ ἂν ἔλθοι εἰς ἔκφυσιν, μὴ διαλυθὲν ἐν τῇ βώλῳ,
καὶ γενόμενον ἀραιὸν καὶ πολύπορον, ὥςτε καταμιχθῆ-
ναι πρὸς τὴν παρακειμένην ἰκμάδα τῇ οἰκείᾳ ποιότητι,
C καὶ οὕτως εἰς ῥίζαν καὶ βλάςην μεταποιηθῆναι, καὶ
μηδ' ἐν τούτοις μεῖναι, ἀλλὰ μεταβαλεῖν εἰς καλάμην
τοῖς διὰ μέσου γόνασιν, οἷόν τισι συνδεσμοῖς ὑπεζωσμέ-
νην πρὸς τὸ δύνασθαι φέρειν ἐν ὀρθίῳ τῷ σχήματι
τὸν ςάχυν τῷ καρπῷ βαρυνόμενον. Ποῦ τοίνυν ταῦτα
τὰ περὶ τὸν σῖτον ἦν πρὸ τῆς ἐν τῇ βώλῳ αὐτοῦ δια-
λύσεως; Ἀλλὰ μὴν ἐκεῖθεν τοῦτό ἐςιν. Εἰ γὰρ μὴ
ἐκεῖνο πρότερον ἦν, οὐδ' ἂν ὁ ςάχυς ἐγένετο. Ὥςπερ
τοίνυν τὸ κατὰ τὸν ςάχυν σῶμα ἐκ τοῦ σπέρματος
D φύεται, τῆς θείας δυνάμεως ἐξ αὐτοῦ ἐκείνου τοῦτο φι-

tentiam: qui enim rogavit apostolum: Quomodo resurgunt mortui? quasi fieri non posse declarat, ut dispersa corporis elementa rursum coëant, et quum hoc quasi fieri non posset, neque aliud corpus praeter concursum elementorum relinqueretur, hoc dicit, sicut periti dialectici, congruenter quodammodo ea, quae supposuerat, concludens: Si corpus est concursus elementorum, fieri autem non potest, ut eorum iterum fiat coitio, quali corpore utentur qui resurgunt? Hoc igitur, quod videbatur per artificiosam quandam sapientiam iis esse contextum, insipientiam nominavit eorum, qui in reliquis rebus creatis non viderunt excellentiam divinae potentiae: omissis enim altioribus dei miraculis, quibus ad dubitationem auditorem adducere poterat, veluti quid corpus caeleste, et unde? quid corpus solis aut lunae? aut id, quod apparet in astris? quid aether? quid aër? quid aqua? quid terra? Ex iis, quae domestica nobis magisque communia sunt, inconsiderantiam adversariorum arguit. An ne agricultura quidem, inquit, te docet stultum esse, qui excellentiam divinae potentiae ex se metiatur? unde ea, quae seminibus adnascuntur, corpora? quid ea ad germinandam deducit? an non mors, si quidem mors est eius, quod constitit, dissolutio? nam semen non pervenerit ad germinandum, nisi dissolutum in gleba et rarefactum meatibusque refertum fuerit, ut sua qualitate admisceatur apposito humori, et sic in radicem et germen transmutetur, et ne in his quidem maneat, sed mutetur in culmum, in medio enatis geniculis, tanquam quibusdam vinculis succinctum, ut possit ferre in figura erecta spicam fruge onustam. Ubi igitur haec erant, quae circa frumentum conspiciuntur, priusquam id in gleba dissolutum esset? Atqui illinc hoc ortum est. Nam nisi illud prius fuisset, ne spica quidem facta esset. Quemadmodum igitur, quod in spica est, corpus ex semine nascitur, divina virtute ex illo

λοτεχνούσης, καὶ οὔτε δι' ὅλων ταὐτόν ἐςι τῷ σπέρματι, οὔτε παντάπασιν ἕτερον· οὕτω, φησὶ, καὶ τὸ μυςήριον τῆς ἀναςάσεως ἤδη σοι διὰ τῶν ἐν τοῖς σπέρμασι θαυματοποιουμένων προερμηνεύεται, ὡς τῆς θείας δυνάμεως ἐν τῷ περιόντι τῆς ἐξουσίας οὐ μόνον ἐκεῖνο τὸ διαλυθέν σοι πάλιν ἀποδιδούσης, ἀλλά σοι καὶ ἕτερα μεγάλα τε καὶ καλὰ προστιθείσης, δι' ὧν σοι πρὸς τὸ μεγαλοπρεπέςερον ἡ φύσις κατασκευάζεται. Σπείρεται γὰρ,
257 φησὶν, ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν
A ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν. Ὡς γὰρ καταλιπὼν μετὰ τὸ διαλυθῆναι ὁ ἐν τῇ βώλῳ σῖτος τὴν ἐν τῷ ποσῷ βραχύτητα καὶ τὴν ἐν τῷ ποιῷ τοῦ σχήματος αὐτοῦ ἰδιότητα ἑαυτὸν οὐκ ἀφῆκεν, ἀλλ' ἐν ἑαυτῷ μένων ςάχυς γίνεται, πάμπολυ διαφέρων αὐτὸς ἑαυτοῦ μεγέθει καὶ κάλλει καὶ ποικιλίᾳ καὶ σχήματι· κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἀν-
B θρωπίνη φύσις ἐναφεῖσα τῷ θανάτῳ πάντα τὰ περὶ αὐτὴν ἰδιώματα, ὅσα διὰ τῆς ἐμπαθοῦς διαθέσεως ἐπεκτήσατο, τὴν ἀτιμίαν, λέγω, τὴν φθορὰν, τὴν ἀσθένειαν, τὴν κατὰ τὰς ἡλικίας διαφορὰν, ἑαυτὴν οὐκ ἀφίησιν· ἀλλ' ὥςπερ εἰς ςάχυν τινὰ, πρὸς τὴν ἀφθαρσίαν μεθίςαται, καὶ τὴν δόξαν, καὶ τὴν τιμὴν, καὶ τὴν δύναμιν, καὶ τὴν ἐν παντὶ τελειότητα, καὶ τὸ μηκέτι τὴν ζωὴν αὐτῆς οἰκονομεῖσθαι τοῖς φυσικοῖς ἰδιώμασιν, ἀλλ' εἰς πνευματικήν τινα καὶ ἀπαθῆ μεταβῆναι κατάςασιν· αὕτη γάρ ἐςιν ἡ
C τοῦ ψυχικοῦ σώματος ἰδιότης, τὸ ἀεὶ διά τινος ῥοῆς καὶ κινήσεως ἀπὸ τοῦ ἐν ᾧ ἐςὶν ἀλλοιοῦσθαι καὶ μεταβάλλειν εἰς ἕτερον· ἃ γὰρ νῦν οὐκ ἐν ἀνθρώποις μόνον ὁρῶμεν καλὰ, ἀλλὰ καὶ ἐν φυτοῖς καὶ ἐν βοσκήμασιν, τούτων οὐδὲν ἐν τῷ τότε βίῳ ὑπολειφθήσεται. Δοκεῖ δέ μοι καὶ διὰ πάντων συναγορεύειν ὁ ἀποςολικὸς λόγος τῇ καθ' ἡμᾶς ὑπολήψει τῆς ἀναςάσεως, καὶ τοῦτο δεικνύειν, ὅπερ
D ὁ ἡμέτερος ὁρισμὸς περιέχει λέγων, μηδὲν ἕτερον εἶναι ἀνάςασιν, ἢ τὴν εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατάςασιν· ἐπειδὴ γὰρ ἐν τῇ πρώτῃ κοσμογονίᾳ τοῦτο

ipso hoc artificiose efficiente, ac neque prorsus idem est, quod semen, neque omnino diversum: ita, inquit, mysterium quoque resurrectionis iam tibi per ea, quae mirabiliter fiunt in seminibus, praesignificatur, quod divina virtus exuberante potestate non solum illud, quod est dissolutum, tibi denuo reddat, verum etiam alia magna atque praeclara tibi addat, quibus natura tibi magnificentius exornatur. Seminatur enim, inquit, in corruptione, resurgit in incorruptione: seminatur in infirmitate, resurgit in potentia: seminatur in ignominia, resurgit in gloria: seminatur corpus animale, resurgit corpus spirituale. Ut enim, quod erat in gleba triticum, postquam fuerit dissolutum, relicta, quae in quantitate consideratur, exiguitate, et quae in qualitate spectatur, figurae suae proprietate, se ipsum non dimittit, sed in se ipso manens spica evadit, plurimum differens ipsum a se ipso magnitudine, pulchritudine, varietate, figura: eodem modo humana quoque natura, relictis in morte omnibus suis proprietatibus, quas patibili affectione acquisiverat, ignominia, inquam, corruptione, infirmitate, aetatum discrimine, se ipsam non dimittit; sed veluti in spicam quandam, immutatur in incorruptionem, in gloriam, in honorem, in virtutem, et, quae in omnibus est, perfectionem, et in eam conditionem, ut vita eius non amplius naturalibus regatur proprietatibus, sed in spiritualem quendam et impatibilem statum transeat: haec est enim animalis corporis proprietas, ut semper per fluxum quendam et motum ab eo, in quo versatur, diversum fiat et in aliud immutetur: nam quae nunc non in hominibus solum bona videmus, sed etiam in plantis atque pecoribus, horum nihil in illa, quae tunc erit vita, relinquetur. Videtur autem mihi per omnia quoque apostolica oratio nostrae de resurrectione sententiae suffragari, et id ostendere, quod nostra continet definitio, dicens nihil aliud esse resurrectionem, quam naturae nostrae in pristinum statum restitutionem? quoniam enim in prima mundi

παρὰ τῆς γραφῆς μεμαθήκαμεν, ὅτι πρῶτον ἐβλάςησεν
ἡ γῆ βοτάνην χόρτου, καθὼς ὁ λόγος φησὶν· εἶτα ἐκ
τῆς βλάςης τὸ σπέρμα ἐγένετο, οὗπερ ἐπὶ τὴν γῆν κα-
ταῤῥυέντος, τὸ αὐτὸ πάλιν εἶδος τοῦ ἐξ ἀρχῆς φυέν-
τος ἀνέδραμεν· φησὶ δὴ τοῦτο ὁ θεῖος ἀπόςολος καὶ
ἐπὶ τῆς ἀναςάσεως γίνεσθαι. Οὐ μόνον δὲ τοῦτο
258 παρ᾽ αὐτοῦ διδασκόμεθα, τὸ πρὸς τὸ μεγαλοπρεπέςε-
A ρον μεθίςασθαι τὸ ἀνθρώπινον, ἀλλ᾽ ὅτι τὸ ἐλπιζό-
μενον οὐδὲν ἕτερόν ἐςιν, ἢ ὅπερ ἐν πρώτοις ἦν· ἐπει-
δὴ γὰρ τὸ κατ᾽ ἀρχὰς οὐχ ὁ ςάχυς ἀπὸ τοῦ σπέρμα-
τος, ἀλλ᾽ ἐκεῖθεν τὸ σπέρμα· μετὰ ταῦτα δὲ οὗτος
τῷ σπέρματι περιφύεται, ἡ τοῦ ὑποδείγματος ἀκολου-
θία σαφῶς ἐπιδείκνυσι τὸ πᾶσαν τὴν διὰ τῆς ἀναςά-
σεως ἀναβλαςήσουσαν ἡμῖν μακαριότητα πρὸς τὴν ἐξ
ἀρχῆς ἐπανιέναι χάριν· ςάχυς γὰρ ὄντες τὸ κατ᾽ ἀρχὰς
B τρόπον τινὰ καὶ ἡμεῖς ἐπειδὴ τῷ καύσωνι τῆς κακίας
κατεξηράνθημεν, ὑπολαβοῦσα δὲ ἡμᾶς ἡ γῆ διὰ τοῦ
θανάτου λυθέντας πάλιν κατὰ τὸ ἔαρ τῆς ἀναςάσεως
ςάχυν ἀναδείξει τὸν γυμνὸν τοῦτον κόκκον τοῦ σώματος,
εὐμεγέθη τε καὶ ἀμφιλαφῆ, καὶ ὄρθιον καὶ εἰς τὸ οὐ-
ράνιον ὕψος ἀνατεινόμενον, ἀντὶ καλάμης ἢ ἀνθερίκων
τῇ ἀφθαρσίᾳ καὶ τοῖς λοιποῖς τῶν θεοπρεπῶν γνωρι-
ςμάτων ὡραϊζόμενον· δεῖ γὰρ, φησὶ, τὸ φθαρτὸν τοῦτο
ἐνδύσασθαι ἀφθαρσίαν. Ἡ δὲ ἀφθαρσία, καὶ ἡ δόξα,
καὶ ἡ τιμὴ, καὶ ἡ δύναμις ἴδια τῆς θείας φύσεως εἶναι
C ὁμολογεῖται, ἅπερ πρότερόν τε περὶ τὸν κατ᾽ εἰκόνα
γενόμενον ἦν, καὶ εἰς αὖθις ἐλπίζεται. Ὁ γὰρ πρῶτος ςάχυς
ὁ πρῶτος ἄνθρωπος ἦν, ὁ Ἀδάμ· ἀλλ᾽ ἐπειδὴ τῇ τῆς κακίας
εἰςόδῳ εἰς πλῆθος ἡ φύσις κατεμερίσθη, καθὼς γίνεται
ὁ καρπὸς ἐν τῷ ςάχυϊ, οὕτως οἱ καθ᾽ ἕκαςον γυμνω-
θέντες τοῦ κατὰ τὸν ςάχυν ἐκεῖνον εἴδους, καὶ τῇ γῇ
καταμιχθέντες πάλιν ἐν τῇ ἀναςάσει κατὰ τὸ ἀρχέγονον
κάλλος ἀναφυόμεθα, ἀντὶ ἑνὸς τοῦ πρώτου ςάχυος αἱ
ἄπειροι μυριάδες τῶν λητῶν γενόμενοι. Ὁ δὲ κατ᾽ ἀρε-
D τὴν βίος ἐν τούτῳ πρὸς τὴν κακίαν τὸ διάφορον ἔξει,
ὅτι οἱ μὲν ἐνταῦθα παρὰ τὸν βίον δι᾽ ἀρετῆς ἑαυτοὺς

origine hoc ex literis sacris didicimus, quod primum graminis herbam terra produxit, sicut dicit narratio: deinde ex germine ortum est semen: quod quum in terram defluxisset, eadem rursus species eius, quod ab initio provenerat, enata est: hoc divinus apostolus etiam in resurrectione fieri dicit. Non solum autem hoc ab eo docemur, quod homo ad id, quod magnificentius est, immutatur, sed quod id, quod speratur, nihil aliud est, quam id, quod erat in principio: quoniam enim ab initio non spica ex semine, sed illinc semen provenit: ea autem postea semini adnascitur, similitudinis consequentia aperte indicat, fore, ut universa per resurrectionem nobis germinans beatitudo ad pristinam revertatur gratiam: nam nos quoque quum ab initio essemus quodammodo spica, posteaquam ardore vitii exaruimus, quae excepit nos terra per mortem solutos rursus in vere resurrectionis hoc nudum corporis granum spicam reddet proceram, densam, erectam et ad altitudinem usque caeli pertinentem, pro culmo vel aristis incorruptione reliquisque divinis signis exornatam: oportet enim, inquit, hoc corruptibile induere incorruptionem. Incorruptionem autem, gloriam, honorem, virtutem propria divinae naturae esse constat, quae quidem prius erant in eo, qui factus est ad imaginem, et rursus sperantur. Nam prima spica primus homo erat, Adam: sed quando vitii ingressu natura in multitudinem divisa est, sicut fructus exsistit in spica, ita singuli, privati forma, quae in illa spica erat, et, terrae immixti, rursus in resurrectione in antiquam pulchritudinem renascimur, pro una prima spica innumerabilis segetum multitudo facti. Vita autem, quae cum virtute agitur, in hoc differet a vitio, quod, qui in hac vita virtute se excoluerunt, statim in perfecta spica nascuntur, quibus autem vitio evanida quaedam et a ventis corrupta fuit in hac vita virtus, quae erat in animali semine, sicut ea, quae in boum

γεωργήσαντες εὐθὺς ἐν τελείῳ τῷ ϛάχυϊ φύονται· οἷς δὲ διὰ κακίας ἐξίτηλός τις καὶ ἀνεμόφθορος γέγονε παρὰ τὸν βίον τοῦτον ἡ ἐν τῷ ψυχικῷ σπέρματι δύναμις, καθάπερ τὰ λεγόμενα κερασβόλα οἱ τῶν τοιούτων ἐπιϛήμονες λέγουσι γίνεσθαι, οὗτοι, κἂν φυῶσι διὰ τῆς ἀναϛάσεως, πολλὴν ἀποτομίαν παρὰ τῷ κριτῇ ἕξουσιν, ἅτε δὴ οὐκ ἰσχύοντες ἀναδραμεῖν ἐπὶ τὸ εἶδος
259 τοῦ ϛάχυος καὶ γενέσθαι ἐκεῖνο, ὅπερ ἦμεν πρὸ τῆς ἐπὶ
A τὴν γῆν καταπτώσεως. Ἡ δὲ θεραπεία τοῦ ἐπιϛατοῦντος τῶν γεννημάτων ἢ τῶν ζιζανίων τε καὶ τῶν ἀκανθῶν ἐϛὶ συλλογὴ τῶν συναναφυέντων τῷ σπέρματι, πάσης τῆς ὑποτρεφούσης τὴν ῥίζαν δυνάμεως πρὸς τὸ νόθον μεταῤῥυείσης, δι᾽ ὧν ἄτροφόν τε καὶ ἀτελεσφόρητον τὸ γνήσιον ἔμεινε σπέρμα, τῇ παρὰ φύσιν βλάϛῃ συμπεπνιγμένον. Ἐπειδὰν οὖν πᾶν ὅσον νόθον τε καὶ
B ἀλλότριον ἐκτιλῇ τοῦ τροφίμου καὶ εἰς ἀφανισμὸν ἔλθῃ, τοῦ πυρὸς τὸ παρὰ φύσιν ἐκδαπανήσαντος, τότε καὶ τούτοις εὐτροφήσει ἡ φύσις, καὶ εἰς καρπὸν ἀδρυνθήσεται διὰ τῆς τοιαύτης ἐπιμελείας, μακραῖς ποτὲ περιόδοις τὸ κοινὸν εἶδος τὸ ἐξ ἀρχῆς ἡμῖν θεόθεν ἐπιβληθὲν ἀπολαβοῦσα. Μακάριοι δὲ οἷς εὐθὺς τὸ τέλειον κάλλος τῶν ἀϛαχύων συνανατελεῖ, φυομένοις διὰ τῆς ἀναϛάσεως. Ταῦτα δέ φαμεν οὐχ ὡς σωματικῆς τινὸς
C διαφορᾶς ἐν τοῖς κατ᾽ ἀρετὴν ἢ κακίαν βεβιωκόσιν ἐν τῇ ἀναϛάσει φανησομένης, ὡς τὸν μὲν ἀτελῆ κατὰ τὸ σῶμα νομίζειν, τὸν δὲ τὸ τέλειον ἔχειν οἴεσθαι· ἀλλ᾽ ὥϛπερ παρὰ τὸν βίον ὁ δεσμώτης τε καὶ ἄνετος ἔχουσι μὲν ἀμφότεροι παραπλησίως τῷ σώματι, πολλὴ δὲ μεταξὺ ἀμφοτέρων ἡ καθ᾽ ἡδονήν τε καὶ λύπην διαφορὰ, οὕτως οἶμαι χρῆναι τῶν ἀγαθῶν τε καὶ κακῶν ἐν τῷ μετὰ ταῦτα χρόνῳ λογίζεσθαι τὸ διάφορον·
D ἡ γὰρ τελείωσις τῶν ἐκ τῆς σπορᾶς ἀναφυομένων σωμάτων ἐν ἀφθαρσίᾳ τε καὶ δόξῃ καὶ τιμῇ καὶ δυνάμει παρὰ τοῦ ἀποϛόλου γίνεσθαι λέγεται· ἡ δὲ τῶν τοιούτων ἐλλάττωσις οὐ σωματικήν τινα τοῦ φυέντος διασημαίνει κολόβωσιν, ἀλλ᾽ ἑκάϛου τῶν κατὰ τὸ ἀγαθὸν

cornua incidere dicuntur, talium rerum periti dicunt nasci, hi, etiam si renati fuerint per resurrectionem, magnam duritiem apud iudicem invenient, ut qui nimirum ad spicae formam excurrere illudque fieri nequeant, quod eramus, priusquam in terram deciderimus. Curatio autem eius, qui praeest germinibus, et zizaniorum et spinarum est collectio, quae una cum semine enatae sunt, omni vi radicem subtus alente in adulterinam naturam transfusa, quibus rebus accidit, ut geminum semen non nutriretur, et iccirco, quod ab eo germine, quod praeter naturam enatum esset, suffocaretur, nihil unquam perfecti producere posset. Postquam igitur quicquid adulterinum et alienum est, ex eo, quod nutriendi vim habet, evulsum atque deletum fuerit, et ignis id, quod praeter naturam est, absumpserit, tunc etiam horum natura bene nutrietur et grandescet, fructumque proferet per hanc curam, longo tandem circuitu temporum communi forma, quae ab initio divinitus nobis data est, recepta. Beati autem, quibus statim perfecta spicarum pulchritudo simul exorietur, quum nascuntur per resurrectionem. Haec autem dicimus, non quod corporis quaedam differentia in iis, qui vel cum virtute vel cum vitio transegerunt vitam, in resurrectione apparitura sit, ut alterum corpore imperfectum putemus, alterum perfectionem habiturum censeamus; sed quemadmodum in vita et qui vinctus, et qui solutus est, ambo similiter corpore se habent: multum autem inter utrumque, quantum ad voluptatem et dolorem attinet, differt: ita existimo et bonorum et malorum differentiam in futuro tempore reputari oportere: nam perfectio corporum ex semente renascentium cum incorruptione, gloria, honore, potentia ab apostolo fieri dicitur; horum autem deminutio non corporalem quandam eius, quod natum est, mutilationem significat, sed uniuscuiusque eorum, quae ex bono intelliguntur, et privationem et alienationem. Quoniam igitur unum aliquod circa nos

νουμένων ζέρησίν τε καὶ ἀλλωτρίωσιν. Ἐπεὶ οὖν ἕν τι χρὴ
πάντως περὶ ἡμᾶς εἶναι τῶν κατ᾽ ἀντίθεσιν νοουμένων,
ἢ ἀγαθὸν, ἢ κακὸν, δῆλον ὅτι τὸ ἐν τῷ ἀγαθῷ τινὰ λέγειν μὴ
260 εἶναι ἀπόδειξις γίνεται ἐν τοῦτῳ κακῷ πάντως εἶναι.
A Ἀλλὰ μὴν περὶ τὴν κακίαν οὐ τιμὴ, οὐ δόξα, οὐκ ἀ-
φθαρσία, οὐ δύναμις. Ἀνάγκη οὖν πᾶσα περὶ ὃν ἂν
μὴ ᾖ ταῦτα, τούτῳ τὰ ἐξ ἀντιθέτου νοούμενα παρεῖναι
μὴ ἀμφιβάλλειν, ἀσθένειαν, ἀτιμίαν, φθορὰν καὶ ὅσα
τοῦ τοιούτου γένους ἐστὶν, ἅπερ ἐν τοῖς ἔμπροσθεν εἴ-
ρηται λόγοις, ὅτι δυσαπάλλακτα γίνεται τῆς ψυχῆς τὰ
ἐκ κακίας πάθη, δι᾽ ὅλης αὐτῆς ἀνακραθέντα καὶ συμ-
φυέντα καὶ ἓν πρὸς ἐκείνην γενόμενα. Τῶν οὖν τοιού-
B των ταῖς διὰ τοῦ πυρὸς ἰατρείαις ἐκκαθαρθέντων τε καὶ
ἀφαγνισθέντων, ἕκαστον τῶν πρὸς τὸ κρεῖττον νοουμέ-
νων ἀντειςελεύσεται, ἡ ἀφθαρσία, ἡ ζωὴ, ἡ τιμὴ, ἡ
χάρις, ἡ δόξα, ἡ δύναμις καὶ εἴ τι ἄλλο τοιοῦτον αὐ-
τῷ τε τῷ θεῷ ἐπιθεωρεῖσθαι εἰκάζομεν, καὶ τῇ εἰ-
κόνι αὐτοῦ, ἥτις ἐστὶν ἡ ἀνθρωπίνη φύσις.

omnino esse oportet ex iis, quae intelliguntur per oppositionem, vel bonum, vel malum, perspicuum est, quum aliquis non in bono esse dicatur, ostendi, eum omnino in malo versari. Atqui in vitio non est honor, non gloria, non incorruptio, non virtus. Necesse igitur omnino est, ut, in quo haec non sint, huic ea, quae ex opposito intelliguntur, adesse non dubitetur, infirmitatem, inquam, ignominiam, corruptionem, et quaecunque huius generis sunt, de quibus in superioribus dictum est scriptis, animae ex vitio contractas affectiones difficulter depelli posse, quum per totam ipsam commixtae, coagmentatae et cum ea unitae fuerint. Iis igitur, quae sunt huiusmodi, per ignis medicinam expurgatis atque expiatis, in eorum locum succedet unumquodque eorum, quae in meliorem partem intelliguntur, incorruptio, vita, honor, gratia, gloria, potentia, et si quid aliud eiusmodi et in ipso deo cerni coniicimus, et in eius imagine, quae est humana natura.

Annotationes.

ANNOTATIONES.

P. 1. ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ κτλ.] 181 A Sic Cod. Florent. 35. Plut. VII. fol. 232. b. (ap. ***Bandin.*** Catalog. Codd. MSS. Graecc. Biblioth. Mediceo-Laurent. T. I. p. 298.), Monacc. BD et Uffenbach. una cum Editt. Mon. A exhibet *τοῦ ἁγίου γρηγορίου*. Mon. C, Flor. 1. Plut. VII. p. 71. (ap. ***Bandin.*** T. c. p. 165.), Flor. 13. Plut. LXXXVI. p. 85. (v. ***Band.*** T. III. p. 335.) et Vindob. (ap. ***Lambec.*** Commentar. de Biblioth. Caes. Vindob. ed. Kollar. Lib IV. Cod. 106. p. 53.): *τοῦ αὐτοῦ* (Mon. C in fronte *τοῦ ἁγίου γρηγορίου*). Taurinensis Nr. 59. (v. Codd. MSS. Biblioth. Reg. Taurin. Athenaei. Rec. ***Jos. Pasinus*** T. I. p. 159.): *γρηγορίου νύσσης*. Voc. *ἐπισκόπου* Mon. DE, Taurin. et Vindob. om. Tum Mon. ACE vitiose scribunt *νύσης*, Mon. autem B et Uffenb. exhibent *νυσσαέως* („eodem sensu," ait ***Jo. Christoph. Wolfius*** anecdott. Graecc. T. II. p. 274., „nec praeter scriptorum ecclesiasticorum morem, qui saepe Gregorium nostrum *τὸν Νυσσαέα* ab episcopatus sede appellant"). Dein Vindob. ponit *διάλογος*, Flor. 13. Plut. LXXXVI. *λόγος*, Flor. 35. Plut. VII. et Mon. ACD *ζήτησις*. Verba *καὶ ἀναζώσεως* agnoscunt soli Monac. B et Uff. cum Veneto Nr. 602. (ap. ***Zanett.*** Graec. D. Marci Bibliothec. T. I. p. 313., quo tamen loco nil, nisi Latinus affertur titulus). Flor. 1. Plut. VII. legit *περὶ ψυχῆς ἀνθρώπου*, addens *ὁ λεγόμενος λόγος τὰ μακρίνια*, quae verba, etiam in Editt. exstantia, nullus reliquorum librorum offert. In Vindob. est *πρὸς μακρίναν* (scr. *Μακρῖναν*) *τὴν ἀδελφὴν περὶ ψυχῆς*. Quae deinceps sequuntur verba: *μετὰ τῆς ἰδίας* (Mon. D addit *αὐτοῦ*) *ἀδελ-*

φῆς Μακρίνης recepi ex Flor. 35. Plut. VII., Mon. ACD et Taur. cit.; neque differt Taurinensis Nr. 289 (v. ***Pasin.*** T. c. p. 386., ubi legitur hic titulus: ***Sancti Gregorii Nysseni Dialogus cum sorore sua Macrina de anima***). Alius liber Taur. (ap. ***Pas.*** T. c. p. 140.) habet: ***Sancti Patris Gregorii Nysseni Dialogus cum sorore Macrina de anima.*** Flor. autem 13. Plut. LXXXVI. scribit *πρὸς τὴν ἰδίαν ἀδελφήν.* Venet. 602. ***ad Macrinam sororem.*** Ex Hasselmann. ***Wolfius*** hanc enotavit inscriptionem: *Διάλεξις τῆς ὁσίας Μακρίνης μετὰ τοῦ ἰδίου ἀδελφοῦ τοῦ ἁγίου Γρηγορίου περὶ ψυχῆς,* appositis his verbis: „Eodem modo ***Suidas*** [v. *Γρηγόριος*] refert Gregorium nostrum scripsisse *μακρόν τινα καὶ περικαλλῆ πρὸς τὴν ἀδελφὴν Μακρίναν* (immo *Μακρῖναν*) *περὶ ψυχῆς λόγον.* Ex quo etiam manifestum est, quod et res ipsa credere iubet, dialogum hunc non quidem re vera inter Gregorium et Macrinam habitum, sed instar dissertationis a Gregorio conscriptum esse.“ Apposui in fine voc. *διάλογος*, praeeunte ***Photio*** in Cod. CCXXXIII. p. 292. col. 2. l. 40. sq. ed. Bekker., ubi hic Nostri liber vocatur *ὁ περὶ ψυχῆς πρὸς τὴν ἀδελφὴν Μακρῖναν διάλογος.*

B P. 2. *Ἐπειδή*] Mon. E *ἐπεὶ δή.* — *τοῦ ἀνθρωπίνου βίου* —— *μετέσχη*] „Est haec formula e loquendi genere scriptoribus eccles. proprio petita; nam *οἱ ἔξω*, posterioris quidem aetatis (veteres enim sic loquutos esse non video) in eadem re utuntur hisce formulis: *μεταςῆναι τοῦ βίου* (e. c. ***Euripid.*** Alcest. v. 21. *θανεῖν πέπρωται καὶ μεταςῆναι βίου.* Cf. ***Matthaeus*** ad novv. ex Jo. Chrysost. Eclogg. p. 55., vel *μεταςῆναι πρὸς τὸ χρεών.* Veluti ***Plutarchus*** Consol. ad Apoll. p. 119. E. haec dicit: *οἱ ταῖς ἀρεταῖς διενεγκόντες ὡς θεοφιλεῖς νέοι μετέςησαν πρὸς τὸ χρεών.* Pertinet autem huc illud, quod Gregorius noster p. 250. D. *μετάςασιν* vocat ***mortem***, quam p. 210. A. plenius circumscribit *τὴν ἐκ τοῦ ὁρωμένου πρὸς τὸ ἀειδὲς μετάςασιν τῆς ψυχῆς.* Cf. p. 213. A.“ ***Alb. Jahn.*** — Tum ex Flor. 1. Plut. VII., Mon. ABCE atque Taur. 59. pro vulg. lectione *πρὸς θεὸν*, quam soli agnoscunt Flor. 35. Plut. VII., Mon. D et Taur. 34., scripsi *πρὸς τὸν θεὸν*, quod primus in textum recepit ***Wolfius***, Codice, in quo hanc lectionem invenit, non memorato. — *ὁ πολὺς ἐν ἁγίοις Βασίλειος*] „Res est satis nota, nomina dimensionum apud Graecos saepe inter se permutari, atque sic fieri, ut voc. *πολὺς* de ***magnis*** et ***ingentibus*** vel ***rebus*** vel ***hominibus*** dictum reperiatur. Vid. ***Lobeck.*** ad Sophocl. Aiac. v. 130. p. 126. sq. ed. alt.

Neque vero *πολὺς* is tantum usurpatur, qui corporis mole ceteris praestat hominibus, verum etiam cuius ***magnum*** est ***nomen, magnaque celebritas***: qua de significatione diu est quod monuerunt ***Causabonus*** ad Dionys. Halic. fol. 16. ad p. 108, 8. ***Allatius*** Diatr. de Psellis p. 38. sq. Cf. ***Aen. Gaz.*** p. 58. ed. Barth. *ὁ πολὺς Ἀττικὸς*, ***illustris Atticus***, quo loco ***Wernsdorf.***, a Lobeckio laudatus, ad Himer. p. 271. non optimo iure usus est. *Πολὺς* et *περίβλεπτος* iuxta sunt collocata apud ***Andream Cretens.*** Magno Canone p. 278 A. Combefis., ubi Jobus dicitur *ὁ πολὺς ἐν τέκνοις καὶ περίβλεπτος*, i. e. propter liberos celeber et conspicuus. Sed ante omnia conferendus est Euripideus locus Hippolyti initio, a Casaubono etiam ad partes vocatus: *Πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος θεὰ κέκλημαι Κύπρις* —: in quibus vis voc. *πολλὴ* optime intelligitur ex contrario *ἀνώνυμος*, quod vocibus *καὶ οὐκ* eo Atticorum more additum est, quem egregie illustravit ***J. Caes. Scaliger*** ad Aristot. de Hist. Animall. LX. p. 1186.“ ***Alb. Jahn.*** — Add. praeter ea, quae notavit ***Schaeferus*** ad Long. p. 352., ***Gregor.*** Naz. Or. VII. p. 208. C. *καὶ νῦν ἡμῖν ὁ πολὺς Καισάριος ἀποσέσωσται.* Or. XLIII. p. 792. B. *ὁ πολὺς καὶ μέγας Βασίλειος.* ***Synes.*** Dion. p. 40. B—C. *Ἀριστείδην δὲ ὁ πρὸς Πλάτωνα λόγος ὑπὲρ τῶν τεσσάρων πολὺν ἐκήρυξεν ἐν τοῖς Ἕλλησιν.* Ep. 49. p. 188. A. *καὶ διὰ τῆς Θεοτίμου ποιήσεως — πολὺς Ἀνθέμιος ἐν ταῖς τῶν λόγων διατριβαῖς.* Ep. 101. p. 239. A. *καὶ νῦν ἐν ταῖς παρ᾽ ἡμῖν πόλεσιν ὁ Πυλαμένης πολὺς ὁ δημιουργὸς τῆς θεσπεσίας ἐπιζολῆς.* Mox pro vulgato *κοινῇ πένθους καὶ ὁρμὴ* (Mon. E habet *κοινῇ π. ἀφορμή*) e Codd. Hass., Mon. ABCD et Uff. correxi *κοινὴ π. ἀφορμή*. — „Genuinam lectionem bene expressit ***Sifanus: communis causa luctus.*** Ἀφορμὴ dicitur ***causa omnis***, ***materia*** vel ***ansa alicuius rei faciundae*** vel ***consequendae*** (veluti ***Gregorius*** p. 188. C. dicit, nos, nosmet ipsos si intueamur, haud parvas habere *ἀφορμὰς πρὸς τὸ διὰ τῶν φαινομένων καὶ τοῦ κεκρυμμένου καταζοχάσασθαι*, eodem plane sensu, quo ***Porphyrius*** opus suum, quo lectoribus ansas quasi assequendae naturae intelligibilis dare sibi visus est, *ἀφορμὰς πρὸς τὰ νοητὰ* inscripsit); huiusmodi ansam qui nanciscitur, *ἀφορμᾶσθαι* (*ἔκ τινος*) dicitur, de quo nemo melius docuit, quam ***Valckenarius*** Diatr. de Aristobulo p. 65. Ceterum eodem sensu, quo hic *ἀφορμὴ*, alias etiam *ὑπόθεσις* dicitur (vid. ***Wernsdorf.*** ad Himer. Ecl. 5, 20. p. 147.) et *ὕλη*, e. c. p. 209. C. — *ἐπαίνων γίνεσθαι ὕλην.*“ ***Alb. Jahn.*** — In seqq. vitiosum *εἴην κατὰ σπουδὴν* praeeuntibus libris Hass., Mon. DE et Uff. mutavi in *ᾖειν κ. σπ.* Mon. AC

Winerus Gramm. N. Foed. p. 117., cuius optima est disputatio de hac vi praepositionis ἐν.“ *Alb. Jahn.* — Mox ed. Paris. 1. ante τὸ πᾶν perperam semicolo, post vero 2. Paris. pro commate puncto distinguit. Αὐτὸ in Hass. et Mon. B corruptum est in αὐτῷ. Dein Mon. D scribit ἐν αὐτῷ. Mon. AC μόνον pro μένον, quod in Mon. E natum est e μέν. Pro καὶ περὶ αὐτὸ γινόμενον e Codd. Mon. BDE atque Uff. reposui καὶ περὶ ἑαυτὸ κινούμενον. Hass. mendose legit περὶ ἑαυτοῦ. Κινούμενον agnoscunt etiam Hass. et Mon. AC. In Wolfiano textu haec verba desiderantur. — λῆγόν ποτε] Mon. AC male λῆγον ἀπό. Iidem οὔτ'. Verba παρὰ τὸν Mon. E om. Tum Mon. in BE scribitur ἐστιν.

ἢ περὶ τὸ εἶναι — — πίστις] Monacenses quidem libri omnes exhibent περὶ τοῦ εἶναι. Sed tamen nihil mutandum censui; etenim praepositio περὶ, accusativo iuncta, genitivi vices gerit. De qua constructione apud Nostrum haud infrequenti vid. Annot. ad Or. catech. p. 191.

Οὐ γὰρ δή] Mon. E δεῖ pro δὴ, permutatione solemni. Mon. B ἐστιν. Mon. E. a m. pr. ἐστιν ἡ ψυχή. Sed ν ἡ deletis rec. m. margini adscripsit τῷ θεῷ. Artic. ἡ Mon. D om. Pro εἰ Mon. B a m. pr. habebat εἰς. Deletum tamen ς. — ὁμολογοῖτο] Sic Hass. et Uff., probante *Wolfio.* Item Mon. B et a m. pr. Mon. E. Rec. vero m. in hoc libro correxit ὁμολογεῖται, quod agnoscunt etiam Mon. ADC. Ed. Paris. 1. male habet ὡμολόγοιτο, 2. Paris. ὡμολογεῖτο. Mon. D τῷ εἶναι.

B Ἡ δέ] In Mon. E a rubricatore est, ut in ed. Paris. 1., Ὅ. Correxit tamen rec. m. Ἡ. Cod. Uff. in calce exhibebat hanc notulam: ἐντεῦθεν τὰς περὶ ψυχῆς ἀποδείξεις γράφει, quae reperitur etiam in marg. libri Mon. A, additis his verbis: δι' ὧν δείκνυσιν αἱ ταὐτῶν ἐνίδι, *sic*, cum lacuna. Mon. B φησίν. Tum Mon. ACD μικρός τις κόσμος εἶναι ὁ ἄνθρωπος, inverso verborum ordine. „De hac sententia egregius est locus apud *Meletium* in opere inedito περὶ φύσεως ἀνθρώπου (in Cod. Monac. 39.) fol. 76. b.; cuius priorem partem quum supra ad p. 187. A. attulerimus, hic alteram adiiciamus: ὡς ὁ μὲν αἰσθητικὸς, ὁ δὲ αἰσθητός· καὶ ὁ μὲν ἀκτὸς (sic), ὁ δὲ αὐτεξούσιος· καὶ ὁ μὲν ξένος θεοῦ καὶ νοερᾶς φύσεως, καὶ ὡς κραμμὸς (sic; l. κεκραμένος, ἐν ἀμφοτέρων, καὶ σοφίας μείζονος γνώρισμα καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας. Ceterum hominem mundum parvulum esse, sententia est a *Platone* praeclare illustrata in Philebo p. 29. B.: Σμικρόν τι τούτων ἕκαστον κτλ. et p. 30. A.: Τὸ παρ' ἡμῖν

